



105.

Τὰ ἐν ταῖς Πεδανίου Διοσκορίδου Ἀναζαρβέως
Κιλικίας, καὶ ῥιζῶν καὶ χυλισμάτων καὶ
σπερμάτων σὺν φύλλων φαρμακικῶν, καὶ
στοιχείου· ἀρξώμεθα τοίνυν ἀκολούθως ἀπὸ τοῦ
ἄλφα, καὶ ἀπὸ τῆς βοτάνης τοῦ περὶ διὸς κρότου·

κρόνου βοτάνη

Ἀβρότονου τὸ μέγα· οἱ δὲ, ἀειθαλές· οἱ δὲ ἀμβρόσιον·
οἱ δὲ χρυσόσπερμον· οἱ δὲ ζωόφθαλμον· οἱ δὲ
βούφθαλμον· οἱ δὲ, στέργηθρον· οἱ δὲ αἰώνιον· οἱ δὲ ζωόφυτον·
οἱ δὲ, ἀείχρυσον· οἱ δὲ ὑπο· οἱ δὲ ὁλόχρυσον· οἱ δὲ χρυ-
σάνθεμον· οἱ δὲ πενταδόντου· οἱ δὲ βούεζον· οἱ δὲ
οἱ δὲ βηραλίου· προφῆται, παρονυχία· οἱ δὲ χρυσῖτις· Ῥω-
μαῖοι, λακουσία· οἱ δὲ ἰοβισσουκουλουμ· οἱ δὲ λιαπιτάς·
οἱ δὲ σουδεκέ· Αἰγύπτιοι, παραυνης· φεάτοις δὲ μὲν περ
βιβαμανι· οἱ πολλοὶ αὐτοὶ σύμφυτον· ὀνομάζεται δὲ ἀ-
είζωον διὰ τὸ ἀειθαλὲς τῶν φύλλων· καυλοὺς δὲ ἀνί-
ησι πηχιαίους μείζονας· παχεῖς μὲν δακτύλου· λι-
παροὺς· εὐθαλεῖς· ἐντομὰς ἔχοντας, ὥσπερ τοῦ
χαρακίου τιθυμάλλου· φύλλα δὲ, λιπαρά, μεγέθους
μεγάλου δακτύλου· καὶ ταύτης ἐν τοῖς ἄκροις κατὰ τῶν
φύλλων τουμβρᾶ δὲ, καὶ τὰ σωιστάμενα ἀπὸ λλη
λαμύκλου· ὀφθαλμοειδῆ περιγράφοντα· ἐν
τόποις ὀρεινοῖς· καὶ ἐν ὀστρακίνοις ἔνιοι φυτεύουσιν αὐτό
ἐπὶ τῶν οἰκιῶν· δύναμιν δὲ ἔχει ψυκτικήν· στυπτική·
ποιοῦσι περὶ ἐρυσιπέλατα· τὰς νομάς· ὀφθαλ-
μιῶν φλεγμονάς· περίκαυστα· ποδάγρας· μέλα-
τὰ φύλλα λεία καθ᾽ αὐτά, καὶ μετὰ ἀλφίτων· ὁ δὲ χυ-

τὸ ἐπὶ τοῦ ἀειζώου [illegible] τῆς [illegible] ξηραίνει [illegible] φάρμακα

[illegible] 5. juillet 1763

α

προσκα … ἐν μετὰ ῥοδίνου ἐμβρέχεται· καὶ
φαλαγγιοδήκτοις ἐν ποτῷ δίδοται· … ζομένοις καὶ
δυσεντερικοῖς· στρογγύλας ἕλμινθας ἐκτινάσσει,
ποθέν· ἴστησι καὶ ῥοῦν γυναικεῖον ἐν προσθέτῳ· ἀρκεῖ
δὲ καὶ ἀπὸ ὀφθαλμιῶν τῶν ὠφελίματος:~

περὶ ἀειζώου τοῦ μικροῦ

Ἀείζωον τὸ μικρὸν· οἱ δὲ αὐτοφυές· οἱ δὲ βράτιον· οἱ δὲ κρόβοι
σιν· οἱ δὲ χαμαιρίζιον· αννῶν· οἱ δὲ βιτταλίς· οἱ δὲ φράγτοι
σεμπερβιβουμένους· οἱ δὲ χελιδόνης ἀφύλη· ῥωμαῖοι,
καρδου σεμπερβίβου· αἰγύπτιοι, ἐπιθυμάλτα· οἱ πολλοὶ
τὸ αἰώνιον ἀμάραντον· φύεται ἐν τοίχοις καὶ πέτραις καὶ
θριγκοῖς· καὶ τάφροις ὑποσκίοις· καυλία ἀπὸ μιᾶς ῥίζης
λεπτὰ πολλὰ ἐκ πλαγίου· περὶ πλεῖα φυλλάρια λιπαρῶν
μικρῶν· ὀξέα ἀπ' ἄκρου· ἀνίησι δὲ καὶ καυλὸν ἐν μέσῳ περίπου
σπιθαμῆς τὸ μέγεθος· ἀγχοῦσα … καὶ … θυλαπτὰ καὶ
χλωρὰ τοῦτο τὰ φύλλα· δύναμιν ἔχει τὴν αὐτὴν τῷ προει
ρημένῳ:~

περὶ ἀειζώου λεπτοφύλλου

Ἀείζωον τὸ λεπτόφυλλον· οἱ δὲ ἀειζώου ἀγρίου· οἱ φράγτοι σεμ
περβίβουν ουμινουλάρις· ῥωμαῖοι σεμπερβίβουμ μί
νους· φύεται καὶ αὐτὸ ἐν τοίχοις καὶ πέτραις
καὶ θριγκοῖς· καυλία περὶ πλεῖα φυλλαρίων μικρῶν
ὑποστρογγύλων· δύναμιν δὲ ἔχει καὶ αὐτό, τὴν αὐτὴν τοῖς
προειρημένοις:~

περὶ ἀλόης

Ἀλόη· οἱ δὲ ἀμφίβιον· οἱ δὲ ἠούστιον· οἱ δὲ ἑρμῆου· οἱ δὲ
τραγόκερως· ῥωμαῖοι, ἀλόε· φράγτοι μεπαλοα· βάρ
βαροι ἄλως· φύλλα ἔχει, σκίλλῃ παραπλήσια· ὥσπερ,
μάλαυα· ἔξωθεν, χλωρὰ· παχέα· λιπαρά· ἔνωθεν περι
φερῆ· ἐκ τοῦ ὀπίσω κλώμενα· παρ' ἑκάτερα δὲ τὰ φύλλα ἐκ
πλαγίων ἀκανθώδη· ἀραιὰ ἐξέχοντα κολοβά· καυλοῦ
ἀνίησι ἀνθερικώδους, ἄνθος δὲ λευκὸν καὶ ἀρ…, ἀσφοδέ

λῷ ἐοικότα· βαρύοσμος μὲν δὲ ὅλη καὶ ἀποσμοῦσα, πικρο-
τάτη καὶ μονόρριζος· ὥσπερ πάσσαλον ὠχροῦ ταύτην ῥίζαν
καὶ μέλαιναν· γεννᾶται δὲ ἐν τῇ Ἰνδίᾳ πλείστη· ἐξ ἧς καὶ
τὸ ὄπισμα κομίζεται· φύεται δὲ ἐν τῇ Ἀσίᾳ· καὶ ἔν τισι
παραθαλασσίοις τόποις καὶ νήσοις· ὡς ἐν Ἄνδρῳ, οὐκ
εὔχρηστος εἰς ὀπισμόν· πρὸς δὲ κόλλησιν τραυμάτων, ἐπι-
τήδειος λεία· καταπλαττομένη· διττὸν δέ ἐστιν
τοῦ χυλίσματος εἶδος· τὸ μὲν ψαμμῶδες· ὅπερ
ὑποστάθμη ἔοικεν εἶναι τῆς καθαρωτέρας· τὸ δὲ, ἡπατί-
ζον· ἐκλέγου δὲ τὴν λιπαρὰν καὶ ἄλιθον· στίλβουσαν, ὑπό-
ξανθον· εὔθρυπτον· ἡπατίζουσαν· ῥᾳδίως ὑγραι-
νομένην· ἐπιτεταμένως δὲ πικριάζουσαν· τὴν μέντοι μέ-
λαιναν καὶ δύσθραυστον, ἀποκρίνου· δολοῦται δὲ κόμμει·
ὃ παραλλάττεται, γεύσει πικριαζούσης· ἐπίτασιν, καὶ
τὸ μὴ διαλύεσθαι μάχεις ἐλαχίστου πάγματος, θλι-
βόμενον ὑπὸ τῶν δακτύλων· ἔνιοι δὲ καὶ ἀκακίαν μιγ-
νύουσιν· δύναμιν δὲ ἔχει στυπτικήν· ξηραντικήν· πυ-
κνωτικὴν τῶν σωμάτων· κοιλίας τε λυτικήν καὶ στομά-
χου· ἀποκαθαρτικήν, κοχλιαρίων δυοῖν πλῆθος μετὰ
ὕδατος ψυχροῦ, ἢ γάλακτος· ἢ χλιαροῦ ποθέν· αἵ-
ματος δὲ ἀναγωγὰς ἐπέχει· καὶ ἰκτερικοὺς ἀποκαθαίρει μα-
θ ὕδατος, ἢ δραχμῆς ὁλκῆς πινομένη· καὶ μετὰ ῥη-
τίνης δὲ καταποθεῖσα ἢ μέλιτος ἑφθοῦ· ἢ ὕδατος ἀνα-
ληφθεῖσα, κοιλίαν λύει· δραχμῶν δὲ τριῶν πλῆθος,
τελέως καθαίρει μιγεῖσα τοῖς ἄλλοις καθαρτικοῖς· ἧττον
αὐτὰ κακοστόμαχα παρασκευάζει· ξηρὰ δὲ καταπα-
σθεῖσα, τραύματα κολλᾷ· ἀπουλοῖ ἕλκη καὶ
κατ… … καὶ αἰδοῖα ἑλκωθέντα, ἰδίως θε-
ραπεύει· καὶ κονδυλώματα· καὶ ἐρραγάδας σὺν
γλυκεῖ οἴνῳ, αἱμορραγίας ἵστησι, καὶ τοὺς ἐξα-

μορφαλίας· καὶ πτερύγια, ἀποκρούει παλισυνώματα καὶ
ὑπώπια· ἔτι μάλιστα καὶ ξηροφθαλμίας
καὶ κανθῶν κνησμοῖς, ἐστὶν αὐτὴ φάρμακον. ~

περὶ ἀσπαλάθου

Ἀσπάλαθος· οἱ δὲ ἐρισύκη· οἱ δὲ σκῆπτρον· οἱ
δὲ φασγάνιον· Σύροι δὲ διάξυλον καλοῦσι· θά-
μνος ἐστὶ ξυλώδης· ἀκάνθας πολλὰς ἔχων·
γενόμενος ἐν Νισύρῳ· καὶ τῇ Ῥόδῳ· ᾧ χρῶνται
οἱ μυρεψοὶ εἰς τὰς τῶν μύρων στύψεις· ἔστι δὲ καλὸς
ὁ βαρὺς καὶ τὸ περιφλοισθέν, ὑπέρυθρος ἢ
πορφυρίζων· πυκνός· εὐώδης· πικρίζων τῇ γεύσει·
ἔστι δέ τι καὶ ἄλλο γένος αὐτοῦ· λευκόν· ξυλῶδες· ἄ-
οσμον· ὅπερ ἧττον· δύναμιν δὲ ἔχει θερμαντικὴν
μετὰ στύψεως· ὅθεν πρὸς τὰς ἄφθας ἐπιτήδειος καὶ τοῖ-
νου καὶ διακλυζόμενος ἁρμόζει· καὶ πρὸς τὰς ἐν αἰδοίοις
καὶ νομὰς [illegible] ἄγχυ καὶ πρὸς τὰς ὀζαίνας
καταπλαστόν· [illegible] γενόμενος [illegible]· τὸ δὲ ἀφέ-
ψημα αὐτοῦ κοιλίαν ἵστησι καὶ αἵματος ἀναγωγὴν ποθέν·
δυσουρίαν τε καὶ ἐμπνευματώσεις λύει. ~ Γαληνοῦ

Ἀλόη πόα μὲν κατὰ Συρίαν φυομένη· ὑδατώδης ἐστὶ
καὶ ἀσύστατος τὴν δύναμιν· ἐστὶ μέντοι τοσοῦτον ξηραί-
νειν πέφυκεν ἡ ἐν τῇ κοίλῃ Συρίᾳ, ὡς κολλᾶν [illegible] δρι-
μὺς δὲ ἡ κατὰ τὴν Ἰνδίαν· ἢ ἐς ὃ ποσὰ ἐστὶ τὸ κομιζόμενον ἐν-
ταῦθα [illegible] ὀνομαζομένη· χρῶνται πολλοὶ παραχομένη·
ἐν τοῦ ξηραίνειν ἀδήκτως· [illegible] ἅμα πικρά ἐστι· ὑ-
πάγει δὲ γαστέρα· ἐστὶ δὲ τῶν μὲν ξηραινόντων τῆς
θερμαινόντων δὲ, τοῖς πρώτοις ἀπτομένη· ἔστι δὲ
εὐστόμαχον· καὶ κόλπων κολλητικὸν τὸ φάρμακον· ἰᾶ-
ται δὲ καὶ τὰ δυσεπούλωτα τῶν ἑλκῶν· μάλιστα δὲ τὰ ἐν ἕδρ-
ᾳ καὶ αἰδοίοις· κολλᾷ καὶ τραύματα. ~



τῶν ἀνατρεπόντων στομάχων καὶ κοιλίας τούτων χολώδη·
ἀψίνθιον ἀκρήπαλον, ἢ ἀμέθυσον· προπινό-
μενον τὸ αὐτὸ ἀπόζεμα κνήστεις καθ᾽ αὑτό· κατά-
στάλαως· ἢ νάρδου κελτικῆς, καὶ δυσορεξίαι· καὶ ἴκτ-
ερον· καὶ ἐμπνευματώσεις κοιλίας· αὐτὸ μὲν γὰρ στομά-
χου τὸ ἀπόβρεγμα αὐτοῦ πινόμενον καθ᾽ ἡμέραν ἀνὰ δ´
εἰς πλῆθος τριῶν, λαμβανόμενον κατὰ μέλιτος· πρὸς
τοὺς ὑπὸ μυκήτων πνιγομένους, δι᾽ ὀξυκράτου πι-
νόμενον· σὺν οἴνῳ δὲ πρὸς ἰξίαν καὶ κώνειον· καὶ μυγαλῆς· καὶ δρακο
θαλασσίου· σὺν ἀλχῃ δέ, διάχρισμα σὺν μέλιτι
καὶ ἀμβλυωπίαις· καὶ πρὸς ἰχῶρας ὤτων, ὁμοίως καὶ ὑπώ-
πια· καὶ ὑπαλειφόμενον δὲ αὐτοῦ τὸ ἀφέψημα πρὸς ὠταλγίας·
ἢ ποσότης ... σὺν γλυκεῖ, κατάπλασμα ὀφθαλμῶν πε-
ριωδυνούντων, καὶ ὑποχονδρίου· ποιεῖ καὶ εἰς ἧπαρ καὶ
στόμαχον χρονίως πάσχοντα σὺν ἀκαλυφῇ κηρω-
τῇ κυπρίνῃ· πρὸς δὲ στόμαχον, ῥοδίνῃ· ποιεῖ δὲ καὶ
κακοστομάχοις καὶ ὑδρωπικοῖς, μιγέντων αὐτῷ σύκων
καὶ νίτρου καὶ αἰρινοῦ ἀλεύρου· σκώληκας δὲ καὶ ...
ἐκβαλλόμενος ... διὰ αὐτοῦ· μάλιστα
δὲ παρὰ τῷ προποντίδι καὶ θράκην· καὶ πρὸς τὰ ἄρρη-
τα μὴ χρῶντας ἐν ἀπυρεξίᾳ· καὶ ἄλλως δὲ προπίνου-
σι θαρροῦσι, ... ποιητικὴν ἀναισθησίαν νομίζοντες· δοκεῖ
δὲ καὶ παρατιθέμενον εἰς τὰ κιβώτια, ἄβρωτα
τηρεῖν τὰ ἱμάτια· ἀλλὰ φορεῖν ... κώνωπας
ἀπαθεῖς τοῦ σώματος· Γαληνοῦ·

Ἀψίνθιον θερμαίνει μὲν μετρίως δὲ ἀποστατικῶς· ξηραίνει δὲ τῆς γ´
δυνάμεως δὲ ἄχρι, στυπτικὸν καὶ πικρὸν· καὶ δριμύτατον·
εὐτονικόν τε καὶ τονοῦται· καὶ διὰ τοῦτο, τοὺς ἐν τῇ κοιλίᾳ
χολώδεις χυμοὺς ἐπὶ τὰ κάτω διαχωρήσει ἅπαντα· καὶ
διούρων ... τοιαύταις φλεγμοναῖς χολώδεσι καὶ ἐν

καθαρεοῦ· ὁ χυλὸς δὲ τῆς πόας πολὺ θερμότερος :~

περὶ ἀβροτόνου

Ἀβρότονον· οἱ δέ, ἀβρούτονον· οἱ δὲ ἀψίνθιον· οἱ δὲ ἡ
ραύλδου· οἱ δὲ χηλόποιον· οἱ δὲ θηλυφθόρον· οἱ δὲ
ἀψινθιόμελον· οἱ δὲ προυδεμπτύλου· προφῆται, τύχα φοίνικος·
οἱ δὲ κιναχίτης· Ῥωμαῖοι, ἀψινθιοῦμ· οἱ δὲ θηλυθηλυ·
οἱ δὲ ἡράκλιον· οἱ δὲ ξυλόπουν· φράτσοι, ἀλπεστέους· ἐν
σφοδρῶς πολυσχιδόφυλλον περιχυδέσιν, ὡς περ σέριφον τὰ
κλωνία πλήρη ἄνθους· ἀπ' ἄκρου κορύμβους ἔχον χρυ
σοειδεῖς· τῆς δὲ παρὰ τὴν γινόμενον εὐώδης, μετὰ πόσου βάρους.
πικρὸν τῇ γεύσει· φύεται δὲ τὸ σικελικὸν ἀναστειοῦν· τὸ δὲ ταῦ
ἄρρεν κλαδίον· κληματῶδες· λεπτόκαρπον· ὡς ἀψίνθιον· λίχνου
δαλοῦ καπνίζουσιν καὶ γαλακτῶδα· καὶ ἡ τῆς τε ἄσπερμα καὶ ἄκρα ἀπό
λαυτικὴ τῆς οὐριτικῆς· τούτου ὁ καρπὸς ζεννύμενος μετὰ
ὕδατος καὶ ὠμοτριβὴς πινόμενος, βοηθεῖ ὀρθοπνοίαις,
ῥήγμασι· σπάσμασιν· ἰσχιάσι· δυσουρίαις· ἐμμή
νων ἐπισχέσεσιν κινεῖ καὶ ὕδατι ζεννύμενον καὶ πινόμενον
θανασίμων ἐστιν φαρμάκων ἀντίδοτον προθεὶς σὺν οἴνῳ·
σὺν ἐλαίῳ δὲ τῶν ῥιγούντων, σὺν ἐλαίῳ· διώκει δὲ καὶ ἑρ
πετὰ ἐπιβαλλόμενον· καὶ θυμιώμενον· καὶ πινόμενον
σὺν οἴνῳ, ὠφελεῖ τοῖς δηχθεῖσιν· ἰδίως δὲ ἁρμόζει ἐπὶ
φαλαγγίων καὶ σκορπίων· βοηθεῖ καὶ ὀφθαλμῶν
φλεγμοναῖς, σὺν ἀφεψήματι κυδωνίῳ· ἢ μετὰ ἄρτου κα
ταπλασθέν· διαφορεῖ καὶ φύματα, μετὰ ἐλαίου λύσεως
λαβὸν ἀψινθίου· μιγνύμενον δὲ καὶ ἀστεῖον ἀέρινον ἀλεί
φουσιν.

Γαληνός

Ἀβρότονον θερμόν μέν ἐστι καὶ ξηρὸν τῆς τρίτης τάξε
ως· διαφορητικὸν δὲ καὶ τμητικὸν ἔχει δύναμιν· ποι
εῖ δὲ πρὸς τὰ περιοδικὰ ῥίγη, σὺν ἐλαίῳ ἀλειφόμενον·
εἰ δὲ ἀρχομένων· διασπαστικῶς τε καὶ ἐλμίνθων· ὑπὸ κενοσό

μάχου· ἡ δὲ τέφρα αὐτοῦ καυθέντος, θερμινθίνῃ μιγεῖσα
ξηρά· ποιεῖ δὲ πρὸς ἀλωπεκίας, σὺν ἀλόῃ χριομένη
ῥαφανίνῳ ἢ σικυωνίῳ ἢ παλαιῷ κοινῷ· ἄλλοι δὲ
καὶ ψευδοφυές :—

περὶ ἀχιλλίου

Ἀχίλλιος· οἱ δὲ μυριόφυλλον· οἱ δὲ χιλιόφυλλον· οἱ
δὲ στρατιωτικόν· οἱ δὲ σιδηρῖτιν· ῥωμαῖοι, σουπερ-
κιλιοῦμ βένερεος· οἱ δὲ κορούμ σιλβατικούμ·
ἄφροι δ' ἀστερχέλαιος· φράγγοι, μηλαφολιούμ·
οἱ δὲ μιλιτάρεμ· καλοῦσι τινὲς καὶ τοῦτο ἀχίλλιον σι-
δηρίτην· φρύγανον ῥαβδία δισπιθαμιαῖα ἢ μείζονα·
δρακοντοειδῆ καὶ περὶ αὐτοῖς φυλλάρια λεπτά·
ἐκ πλαγίων· ὑπόμικρα· γλίσχρα· πολύοσμα· τὸ
κακῶδες φαρμακώδη τὴν ὀσμήν· σκιάδιον ἀπὸ ἄ-
κρου περιφερές· ἄνθη λευκὰ καὶ πορφυρᾶ καὶ χρυ-
σίζοντα· φυλλάρια, ὅμοια ἀρακίδος· πλείω τε
φαραίνηλα ἔα· ὁ καυλὸς αὐτοῦ μαλλωτός· τὰ κάτω
φύλλων, ἔξωθεν μὲν ὀξέα· ἔσωθεν δὲ χλωρά· φύ-
εται ἐν τραχέσι τόποις· τούτου ἡ κόμη λεία, ἐνάι-
μων ἀεὶ κολλητικὴ καὶ ἀφλέγμαντος· αἱμορραγί-
ας, ἀφρακτικὴ καὶ τοῖς ῥοῦ μήτρας ἐν προσθέτω
καὶ τὸ ἀφέψημα δὲ αὐτῆς, ἐγκαθίσματι θεραπεύει καὶ ἀσ
πίνεται δὲ καὶ πρὸς δυσεντερίαν· ἔλλην δὲ κοπεῖσα
τὰ ἀξουγγίας παλαιᾶς, τὰ ἐπαλλάσσοντα ἑλκῶν καὶ
δυσαπούλωτα θεραπεύει· ξηρὰ δὲ κοπεῖσα καὶ
μάλιστα μετὰ ὄξους, ἀσυνδιάκλαστα τὰ ἕλκη :~

περὶ ἀνεμώνης φοινικῆς

Ἀνεμώνη ἡ φοινικῆ· οἱ δέ, ἀνεμῶνον· οἱ δὲ μηκώνιον·
οἱ δὲ τετραδόκαρος· οἱ δὲ τὴν ποδρίνη· οἱ δὲ βαρβύλη·
ἀθωίνης, βηρύλλιος· οἱ δὲ καρδιώτιος· πυθαγόρας
δ' ὀραθυλίς· προφῆται αἷμα τρία· ῥωμαῖοι,

Τὸ αὐτὸ φη
κηρατέα

ὀρτζὶν τουύτημ· ἄφροι, χουφφοῖστ· οἱ πολλοὶ τῶν ἀν-
δρῶν, κουτζουνάδα· καὶ τὸ ἄνθος οἶμαι διὰ τὸ ἀοικεῖν ἄ-
σύφος δὲ λεπτρίωδυνος, πατάνον καλοῦσιν· καὶ μέλαν ἢ ἐρυθρόν·
ἢ δὲ ἥμερος· καὶ τῆς ἡμέρου ἡ μὲν ἔστι φοινικοῦν φέρει τὸ ἄνθη·
ἡ δὲ ὑπόλευκα ἢ γαλακτίζοντα· ἡ δὲ πορφυρᾶ· φύλλα
δὲ ἔχει, κοριανδρώδη· λεπτοσχιδέστερα, πρὸς τῇ γῇ· καυ-
λία χνοώδη λεπτά· ὑπὲρ ὧν τὰ ἄνθη ὥσπερ μή-
κωνος· καὶ μέσον κεφάλια μέλανα· ἢ κυανίζοντα· ῥί-
ζαν μικράν· τῆς δ' ἀγρίας καὶ μείζονος ἡ ῥίζα καὶ τὰ μέ-
γεθος ἐλαίας· οἷον κατὰ γόνασι διειλημμένον· δυνάμεις
δὲ ἔχουσι δριμεῖαν ἀμφότεραι· ὅθεν ὁ χυλὸς τῆς
ῥίζης αὐτῶν ἐναγχύτης πρὸς κεφαλῆς κάθαρσιν·
καὶ μασηθεῖσα δὲ ἡ ῥίζα, ἄγει φλέγματα· ἀφεψη-
θεῖσα δὲ ἐν γλυκεῖ καὶ καταπλαττομένη, ὀφθαλμῶν φ-
λεγμονὰς ἰᾶται· καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλάς· καὶ
ἀμβλυωπίας ἀποσμᾶ· ἀνακαθαίρει δὲ καὶ τὰ ῥυπαρὰ
τῶν ἑλκῶν· τὰ δὲ φύλλα καὶ οἱ καυλοὶ συνεψηθέντες
πτισάνῃ καὶ ἐσθιόμενα, γάλακτα ποιεῖ· ἐν προσθέτω
δὲ ἔμμηνα ἄγει· καὶ καταπλασθέντα δέ, λέπρας ἀφί-
στησιν· Γαληνοῦ· Ἀνεμῶναι πᾶσαι,
δριμεῖα καὶ ῥυπτικῆς ἅπτεται στυπτικῆς καὶ ἀναστομωτικῆς
ἀσίων δυνάμεως· ὅθεν ἡ τε ῥίζα διαμασωμένη, φλέ-
γμα προκαλεῖται· καὶ ὁ χυλός, ἐκκρινῶν καθαίρει· καὶ
τὰς ἐν ὀφθαλμοῖς οὐλὰς λεπτύνει· καὶ τὰ ῥυπαρὰ
δὲ τῶν ἑλκῶν, καθαίρουσιν αἱ ἀνεμῶναι· καὶ λέπρας
ἀφιστᾶσιν· ἔμμηνά τε προκαλοῦνται πρὸς τιθέμεναι·
καὶ γάλακτα ποιοῦσι:~ περὶ ἀσφοδέλου·
Ἀσφόδελος· οἱ δὲ ἀνθέρικον, ἐξωμασοὶ ἀλβουτζιουκ·
ἄφροι, καὶ ... βραῖτοι, ἄφουτζιλλουω· οἱ δέ, πολυόρχιν·
φυτόν, τοῖς πλείοσι γνώριμον· φύλλον ἔχον πράσω

περὶ ἀλθαίας

Ἀλθαία· οἱ δὲ ἀλθίσκον· οἱ δέ, σζι· οἱ δέ, ἀβίσκου·
ῥωμαῖοι, ἀβισκοῦμ· οἱ δέ, λευκὴ μαλάχη· φράτοι
ἀλτάη ἐστὶν ἀγρίας μαλάχης· ἔχουσα φύλλα
ἐπάκρισμένα πρὸς τὰ τῆς ἱερᾶς βοτάνης ἢ συκῆς·
καυλοὺς τρεῖς ἢ δύο· φλοιοὺς ἔχοντας κανάβει παραπ
λήσιον· ἄνθος μικρὸν ἢ λευκόν· ῥίζας λευκάς· π
λαγι· ἐπὶ ἕξ· ὅσον πῆχυς· αὕτη ἐν οἴνῳ ἢ ὕ
δατι πινομένη, δυσεντερίαν καὶ ἐρύματα ἰῶνται·
φασὶ δέ τινες ὅτι τῆς μαλάχης αἱ ῥίζαι πινόμεναι
ἀπ' αὐτῆς ὕδατι ταχέως καὶ λειοτριβόμεναι· καὶ
συνουσιάζ' ὕδω ἐπιτιθέμεναι ὡς ἐμπλάστρων
φοῦσκα μαλακτικὰ καὶ θαυμάσιμα, ἀφ' ἧς καὶ πραΰνει
αὐτήν: —

περὶ ἀριστολοχίας· [illegible]

Ἀριστολοχία μακρὰ ἡ καὶ ἄρρεν· οἱ δέ, μηλόκαρπον·
οἱ δὲ τέξινον· ῥωμαῖοι, λουκίαν· φράγγοι ἀρισ
τολούτζια· ποιεῖ πρὸς ἕρπητας καὶ θανάσιμα· ὅλη καὶ
γινομένη μετὰ οἴνου καταπλαττομένη· ταῦτα δὲ ἐμμή
νια ... λόχια καὶ ἔμμηνα καὶ ἔμβρυα ἐκβάλλει
ἐκβάλλει ... πεπέρεως καὶ σμύρνης· ἡ
ἐν πυρετώδει πρὸς τὰ θήλεα, τὸ αὐτὸ δρᾷ: ~ [illegible]

περὶ ἀριστολοχίας στρογγύλης ἰχθυοβοτάνη

Ἀριστολοχία στρογγύλη θήλεια· οἱ δὲ ἀστραία ῥίζα· ἡ
δὲ μηλόκαρπον· οἱ δὲ φλοιῖτις· οἱ δὲ ἀφροσία· οἱ δέ,
ἀρχηθίτης· οἱ δὲ τέξινον· δάρδανοι, σωπίτης· αἰγύ
πτιοι, σόβου· ῥωμαῖοι, τερεμαλοῦμ· φράγγοι ἀριστο
θερω· ὠνόμασται μὲν ἀριστολοχία ἀπὸ τοῦ ἄριστα βο
ηθεῖν ταῖς λοχοῖς· ἡ δὲ ἡ μὲν στρογγύλη θήλεια καλου
μένη· φύλλα δὲ ἔχει κισσοειδῆ· εὐώδη μετὰ τῶν ... φύ
λα· ... δριμύτητος· ὑπόστρογγυλα· περὶ

πολλοῖς βλαστοῖς ἐκ μιᾶς ῥίζης· τὰ δὲ κλήματα, ὑπομή-
κη· ἄνθη λευκά, οἷον πιλίσκοις· τὸ δὲ ἐν αὐτοῖς ἐρυθρὸν
δυσῶδες· ἡ δὲ μακρὰ καὶ ἄρρην καλεῖται· ῥίζα τῆς μὲν στρο-
γγύλης περιφερὴς γογγυλίδι ὁμοία· ἡ δὲ τῆς μακρᾶς·
δακτύλου τὸ πάχος ἔχει· διαπηθεῖσα, ἢ καὶ μείζω· ἀμ-
φότεραι τὰ πολλά, ἔσω πυρρώδεις· ποιεῖ δὲ πρὸς μὲν τὰ λοιπὰ
φάρμακα, ἡ στρογγύλη· πρὸς δὲ τοὺς ἑρπετὰς καὶ θανάσιμα,
ἡ μακρὰ δραχμῆς ὁλκὴ πινομένη μετ' οἴνου· καὶ καταπλαττομένη· καὶ
ἄγει τὴν μήτραν σμικρὰ καὶ λοχεῖα· καὶ ἔμμηνα, καὶ ἔμβρυα, ἐκβάλ-
λει· ποθεῖσα μετὰ πεπέρεως καὶ σμύρνης· ἢ ἐν πεσσῷ δὲ
προστιθεμένη, τὰ αὐτὰ δρᾷ· ἡ δὲ στρογγύλη ποιεῖ μέν, τὰ δὲ καὶ
ἡ πρὸ αὐτῆς· ἐν ἐπιμελεῖ δὲ βοηθεῖ, ἄσθματι, λυγμῷ, ῥίγει· σπλη-
νὶ· ῥήγμασι· σπάσμασι· πλευριτικοῖς ποθεῖσα μεθ' ὕ-
δατος· ἀνάγει δὲ σκόλοπας· ἀκίδας· λεπίδας ὀστῶν καὶ καταπλαττομένη·
καὶ σηπεδόνας περιχαράσσει· καὶ τὰ ῥυπαρὰ καθαίρει ἕλκη·
τὰ δὲ κοῖλα σαρκοῖ, σὺν ἴρεως καὶ μέλιτι· σμήχει δὲ καὶ οὖλα καὶ
ὀδόντας· τοὺς δὲ παχεῖς χυμοὺς λεπτύνει· ποιεῖ καὶ ἀσθματι-
κοῖς· καὶ ἀπλῆ πινομένη μεθ' ὕδατος πινομένη· τὰ δὲ φύλλα λεῖα καὶ
ἐπιτιθέμενα αὐτὰ καὶ μετὰ μέλιτος, ἐκπληροῖ τὰ ἑλκώδη·
καὶ τὴν μέλαιναν καὶ θανάσιμον φοῦσκαν καταπλαττομένη ἢ ἐρεί-
ζελῆα, σκιῶν :—

Γαληνοῦ·

Ἀριστολοχίας ἡ ῥίζα, πικρὰ καὶ ὑπόδριμυς ὑπάρχουσα λε-
πτικῆς ἐστι καὶ πλέον ἡ στρογγύλη κατὰ πάντα δραστικω-
τέρα τῶν ἄλλων δυοῖν· ἡ δὲ ἑτέρα ἣν κληματῖτιν ἐπονόμασε, ἀσθενε-
στέρα δὲ εἰς τὰς ἰάσεις· ἡ δὲ μακρὰ ἧττον μὲν λεπτομερὴς τῆς
στρογγύλης ἐστί· ῥυπτικῆς δὲ καὶ θερμαντικῆς δυνάμεως
καὶ τὴν μὲν ἡ στρογγύλη, ἧττον ῥύπτει καὶ διαφορεῖ· θερ-
μαίνει δὲ οὐχ ἧττον, ἀλλ' ἴσως καὶ πλέον· χρησίμη δ' ἐν
ταῖς τῶν ~~ἑλκῶν δυσ~~ ἑλκῶν σαρκώσεσι· καὶ ταῖς τῶν ὑστερι-
κῶν πυρίαις· τοὺς δὲ παχεῖς χυμοὺς ἡ στρογγύλη λεπτύνει·

καὶ σκώλοπας ἐξάγει· καὶ σηπεδόνας ἰᾶται· καὶ τὰ
ῥυπαρὰ τῶν ἑλκῶν καθαίρει· καὶ ὀδόντων· καὶ οὖλα
λαμπρύνει· καὶ ῥήγμασι καὶ σπάσμασιν, ἐπιτήδειον
ἐστὶν πινόμενον τὸ φάρμακον ὕδατι:~

συμμαρτυρεῖ καὶ ἀριστοτέλης [illegible]
βοτανῶν [illegible] ὅτι οὕτως [illegible]
παρ' [illegible] ἀρτεμισίας [illegible]

Ἀρτεμισία μονόκλωνος ἄρρεν· οἱ δὲ τοξῖτις· οἱ δὲ ἄφυσι·
οἱ δὲ παρθενίς· οἱ δέ, ἐχ ολισσον· οἱ δέ, συναιταίετος·
οἱ δὲ σώζουσα· οἱ δὲ λία· οἱ δέ, λευκόφρυς· προφῆται σὸ
μασωοῦ· Ῥωμαῖοι, οὐαλεντία· οἱ δέ, σερπούλου·
οἱ δὲ ἄρβα ῥήγια· Γάλλοι νάμ... · Δάκοι ζουοῦστη· Φρά
γγοι, ἀρτεμιζία· οἱ δὲ ἀρτεμισίαν ἄφασι: Γαληνός
Ἀρτεμισίαι, αἳ τῇ ἡμέρᾳ εἰσί· καὶ αὗται μὲν πόσαι ἀμφότεραι
θερμαίνουσι τῆς δευτέρας τάξεως· ξηραίνουσι, περὶ τὴν ἀρχὴν τῆς
ἀξίας δὲ καὶ λεπτομερὴς μᾶλλον· ἁρμόττει δὲ πρὸς τοὺς ἐν
νεφροῖς λίθους· καὶ ἐπισχέσεις ὑστερῶν:~
Ἀρτεμισία ἑτέρα πολύκλωνος· θήλεια· οἱ δὲ χρυσάν
θεμον· οἱ δὲ ἀμάραντον· Ῥωμαῖοι, ῥάνιον· οἱ δὲ χρ
τομαγάτα· οἱ δὲ ἀρτεμισίαμ· Φράγγοι κάρτιμι:
φύεται μὲν ὡς τὰ πολλά, ἐν παραθαλασσίοις τόποις·
πόα θαμνοειδὴς παρόμοιος ἀψινθίῳ· μείζων δὲ
καὶ λιπαροτέρα· φύλλα δὲ ἔχουσα· καὶ ἡ μὲν τις
τῶν ἀσηνὺ δάρνης· πλατύτερα δὲ ἔχουσα τὰ φύ
λλα καὶ τὰς ῥάβδους· ἡ δὲ λεπτοτέρα ἄνθη πο
λλὰ λεπτά· μικρὰ εὐώδη· θέρους δὲ ἀνθεῖ·
ἐνιότε μὲν τῶν ἐν μεσογείοις· ἀπὸ δὲ ταῦτα καὶ ἐπὶ τάττοις χωρίοις·
φύεται· λεπτοκάρπου τέρων βοτανίδιον· ἁπλοῦν
τὸ καυλίον· σφόδρα μικρόν· ἄνθους πάρ πλέον·
κηροειδοῦς τῇ χροιᾷ· λεπτούς· ὃ καλοῦσιν ἀρτεμη

σίαν· ἀσὶ δὲ ἑκάτεραι τῆς πρὸ αὐτῆς· ἀμφότε-
ραι δὲ θερμαίνουσι καὶ ἀποζεννύμεναι δέ, ἁρ-
μόζουσιν εἰς γυναικεῖα ἐγκαθίσματα πρὸς ἀγωγὴν
ἐμμηνίων· καὶ δευτέρων καὶ ἐμβρύων· καὶ μύσιν
καὶ φλεγμονὴν κύστεως ὑστέρας· καὶ θλίψιν λίθων
καὶ ἀποχὴν οὔρων· ἡ δὲ πόα καταπλασθεῖσα πολλὰ
κατὰ τοῦ ἤτρου, ἐμμηναγωγά· ὁ δὲ ἀπ' αὐτῆς χυλὸς
συλλεανθεὶς σμύρνῃ καὶ προστεθείς, ἀνάγει τὰ ἀπὸ
μήτρας· καὶ τὸ ἔγκλυσμα ποτίζεται· κόμης πέ-
δ' ἔτος γμ τῶν αὐτῶν Ι΄ :~

περὶ ἀμβροσίας

Ἄμβροσος· οἱ δὲ βότρυς· οἱ δέ, βότρυς ἀρτεμισία·
Ῥωμαῖοι, κύπρουμ μιλβατίκουμ· οἱ δὲ ἀπιούμ-
ῥούστικουμ· Αἰγύπτιοι, μησαώ· οἱ δὲ κριπτημησίαμ
πατίκουμ· οἱ δὲ μποτρὺς ἀρτεμισία· φραίτοι
μπεόσιδ· θαμνίσκος ἐστὶ πολύκλαδος· τρισπί-
θαμος· τόξυτος· φύλλα ἔχων περὶ τὴν ἐκβολὴν
τοῦ καυλοῦ μικρὰ ὡς πηγάνου ῥά δὲ περὶ πλάκα
σπέρματος· ἐοικὼς βοτρυδίοις μικροῖς ποτὲ ἀνθοῦσι·
τὰς ὀσμὴν κων ἰδίᾳ ῥίζα σπιθαμῆς· ἐμπλά-
κα δὲ ἢ λεῖα πλάσσουσι ἢ ῥύσει· δύναμιν δὲ ἀ-
χολυτικὴν ἀπὸ φερομένων ἢ ἀποκρουστικὴν κα-
ταπλαττομένων δὲ αὐτῆς Γαλλικός· Ἀμβροσία
καταπλασσομένη· δύναμιν ἔχει στύφουσαν

περὶ ἀψινθίου·

Ἀψίνθιον βαθύπικρον· Ῥωμαῖοι ἀψινθιούμ· ῥού-
στικουμ· Αἰγύπτιοι, φραῖτοι, ἄσεντζουμ·
οἱ δὲ ἀψίντζουμ· ἢ ποτῆνωρειμ· ἀσὶ δὲ αὐτῆς βάλτζον
τὸ εὐτον ἐν καταπλάσμασιν ἐκ ὀρ τοῦ ἀλιγομένη ταύρων
γενομένην· δύναμιν δὲ ἔχει παπιτικήν καθαρτικήν·

μετὰ ὅμοιον· καυλίον μέσον ὀρθοῦ· καὶ ἐπ' αὐτοῦ πολλοὺς
κλῶνας ἐκφύει· ἀπ' ἄκρων δὲ τούτων ἄνθος ὀξυκάλλου
μικρὸν ἀνθέρικον· ὁμοίους ῥοϊδαρίοις· ῥίζας δὲ ὑπάρχουσιν ὑπο-
μήκεις· ὑποστρόγγυλοι· βαλάνοις ὅμοιαι· δριμείας τὴν
δύναμιν· καὶ θερμαντικάς· καὶ νουρητικαὶ δὲ καὶ οὖρα καὶ ἔμμηνα
ποθεῖσαι· καὶ πλευρᾶς ἀλγήματα· καὶ σπάσματα· καὶ βῆχα·
καὶ ῥήγματα ∠ πλῆθος· τῆς ῥίζης ἐν οἴνῳ πινομένης· φασὶ δὲ καὶ
ἐμέτους ὅσον ἀστράγαλος βρωθεῖσα· καὶ ἄρ πιτοσηπώτοις
δὲ ὠφελεῖ ὅσον ∠ τρεῖς· καταπλαττόμενα δὲ σὺν τοῖς ῥήγμασι,
τοῖς τε φύλλοις καὶ τῇ ῥίζῃ καὶ τοῖς ἄνθεσι σὺν οἴνῳ· καὶ
τὰ ῥυπαρὰ καὶ νεμόμενα ἕλκη· καὶ μαστῶν καὶ διδύ-
μων φλεγμονάς· καὶ φύματα καὶ δοθιῆνας· σὺν κα-
θαπτομένῃ τῇ τρυγὸς οἴνου τῇ ῥίζῃ· πρὸς δὲ τὰς πρός-
φάτους φλεγμονάς, μετὰ ἀλφίτου· ὁ δὲ χυλὸς τῆς
ῥίζης προσλαβὼν οἴνου παλαιοῦ γλυκέος καὶ σμύρ-
νης, καὶ κρόκου συνεψηθέντων ἅμα, ἐνάργα τυγί-
νεται ἔγχριστον ὀφθαλμῶν φάρμακον· καὶ πρὸς ὦτα πυ-
ορροοῦντα καθ' ἑαυτὸ καὶ σὺν λιβανωτῷ καὶ μέλιτι· καὶ οἴνῳ
καὶ σμύρνῃ χλιανθεὶς ἁρμόζει· ὀδονταλγίαις τὸ ὁ χυ-
λὸς καθ' ἑαυτὸν ἐγχυθείς· τῷ ἀντικειμένῳ ὠτί· καὶ
ἀτονεῖ, καὶ ἡ τέφρα ἐπιπλασσομένη, ἀλωπεκίαις δασύνει·
συνεψηθὲν δὲ ἐλαίῳ καὶ ἐν ταῖς κοιλωμέναις ταῖς ῥίζαις
ἀπὸ πυρὸς τὰ κεκαυμένα χίμεθλα καὶ περίκαυστα ἀ-
παλὰ φυλάσσουσιν ὠφελεῖ· καὶ κωφοῖς βοηθεῖ· ἐκχυό-
μενον δὲ τ' οὖς· ἀλφοὺς τε λευκοὺς πύκνωσιν, ἡλίω
ἀνατριφθέντα ἐν ὀθονίῳ καταχρισθέντα, ἡ ῥίζα, σ-
μήχει.~ Γαληνοῦ· Ἀσφόδελος ῥίζα, ἐν
τεμνεῖ καὶ διαφορητικῆς ἐστὶ δυνάμεως· καυθεῖσα
δὲ αὐτῆς ἡ τέφρα θερμοτέρα καὶ ξηραντικωτέρα καὶ
λεπτομερεστέρα· καὶ διαφορητικωτέρα γίνεται·

ἰᾶται δὲ καὶ ἄλλω πινόμενον· αὐτὸ φησὶ καὶ Κρατεύας
ὁ ῥιζοτόμος· προστίθησι δέ, ὅτι καὶ ποδάγρας καὶ
περὶ λα χοιράδας λύει ἀποτιθεμένη·~

περὶ ἀνήθου

νηθον τὸ ἀνθιόμενον· οἱ δὲ πόλιον· οἱ δὲ ἀννήσιον· προφῆ-
ται γόνος κυνοκεφάλου· ὄρμοι, τρίχες κυνοκεφάλου· οἱ δὲ τὸ
θαρμοῦ· αἰγύπτιοι, ἀράχου· ῥωμαῖοι ἄνηθουμ· ἄφροι,
σικκιρία· φράγγοι, ἀνάτουμ· οἱ δὲ φανούτιον· τὸ
ἄνηθον γνώριμον· διουρητικόν· θερμαντικόν· ἄσομον· ἀ-
στόμαχον· πεπτικόν· μιγνυμένου ταῖς αὐτὸ δόσεσι καὶ ὀξυπόροις,
ἀνάλογον ἀνίσω· ἡ δὲ ῥίζα καὶ ἀφθῆς ἀδώδιμος· ὡς πυρεσ-
φιλίου· ἀνὰ τοῦ ξηροῦ τῆς κόμης· καὶ τοῦ καρποῦ τὸ ἀφέ-
ψημα πινόμενον, γάλα κατασπᾷ· στρόφους καὶ ἐμπνευ-
ματώσεις, παύει· κοιλίαν τε καὶ τοὺς ἐπιπολαίους ἐ-
μέτους, ἵστησιν· οὐρητικὸν καὶ λυγμοὺς παρηγορεῖ·
ἀμβλυώσσει τὰς ὄψεις· καὶ γονὴν σβέννυσι, συνεχῶς
πινόμενον· χρήσιμον δὲ τὸ ἀφέψημα αὐτοῦ καὶ γυναι-
ξὶν ὑστερικαῖς ἐγκάθισμα· τὸ δὲ σπέρμα ἐμβληθὲν κατα-
πλασθέν, κονδυλώματα παύει:~

περὶ ἀνήθου θερμοῦ·

Ἄνηθον· θερμοῦ, τῆς δευτέρας τάξεως ἐπὶ τῆς τεταμένης·
ξηρὸς δὲ δευτέρου, ἁπλῶς· ἐναφεψόμενος σὺν ἐλαίῳ,
διαφορητικοῦ τε καὶ ἀνωδύνου καὶ ὑπνοποιοῦ· καὶ
πεπτικοῦ· καὶ ὠμῶν καὶ ἀπέπτων ὄγκ-
ων ὑπάρχει· καυθεὶς δέ, τῆς τρίτης
τάξεως γίνεται τῶν ξηραινόντων· καὶ
θερμαινόντων· καὶ διὰ τοῦτο πλαδαροῖς
ἕλκεσιν ἐπιπαττόμενον, ὀνίνησι· καὶ μάλιστα τοῖς
ἐν αἰδοίῳ· τοῖς δὲ ἐπὶ τοῖς μακροῖς χρονία, καὶ ἄπουλοι·
τὸ δὲ χλωρὸν ὑγρότερον· καὶ ἧττον θερμοῦ· πεπτικώτερον δὲ

Καὶ ὕπνον ποιοῦν μᾶλλον τοῦ ξηροῦ, διαφορητικοῦ
δὲ ἧττον:- περὶ ἀρτεμώνης

Ἀρτεμώνη· οἱ δὲ οἰνόνη· οἱ δὲ ἀνθεμίς· οἱ δὲ ὁμονία·
οἱ δὲ ἄνθος παστινοῦ· ῥωμαῖοι χοροβόρνια· οἱ δὲ κονυκορ-
διαλις· οἱ δὲ παρεσγάλλια· γάλλοι, κόρνα· ἡ δὲ ἀρτε-
μώνη ὑδραίοις ἐν μὲν, ἀγρία μήκωνι· διακρίνεται
δὲ τῷ τὴν κεφαλὴν ἀχάνους κάστρου τε ἄντα ἄτερι καὶ ἀ-
κάρπια στρογγύλια ἐμφερῆ· μᾶλλον δὲ τοῖς τε φύλλοις
καὶ τοῖς ἄνθεσι ἀκριβῶς καὶ τοῖς καυλοῖς βουφ-
θάλμῳ· ὑποπλατέσιν· ἄνθη μήλινα· ἡ ῥίζα ἀχ-
ξυλίοις τε στρογγύλη· ἐξῆς δὲ ὀνίεται κροκίζοντα· τοῦ δὲ ὀποῦ
δριμέως ὑπὲρ τὸ ἀποκαθαρσιν ἀργεμώνου καὶ γαφαλίου καὶ
φλεγμονάς παρηγορεῖ τὰ φύλλα καταπλασσόμενα: κρα-
τέας· Ἀργεμώνη αὐτὴ ἡ βοτάνη κοπεῖσα μετὰ ἀ-
ξουγγίου χοιρείου διαλύει· ποιεῖ καὶ πρὸς ἀλφοὺς
μέλανας· μετὰ νίτρου καὶ θείου ἀπύρου ξηράν ποιεῖ
καὶ συνθεῖσα ἐν βαλανείῳ τοὺς χρωμένους θεραπεύει,
προεξηρ. τριβομένας· ποιεῖ καὶ πρὸς λώρων· Γα-
λωός· Ἀρνόγλωσσον· οἱ δὲ ἀρνίον· οἱ δὲ προβάτιον·
οἱ δὲ κυνόγλωσσον· οἱ δὲ ἑπτάπλευρον· οἱ δὲ πολύνευρον·
προφῆται οὐρὰ ἰχνεύμονος· αἰγύπτιοι ἀσοντήθ· ῥωμαῖ-
οι πλανταγὼ μινόρ· γάλλοι ταρβηλοσδάθιον· δάκοι,
θιοσαρικάμ· ἄφροι, ἀρτιαρκάμ· δισσόν· τὸ μὲν μι-
κρόν· τὸ δὲ μεῖζον· φύλλα στενότερα ἀμαυρότερα· ὑποξανθά·
τὸ μὲν πεντάνευρον, εὐρύφυλλον καὶ λαχανῶδες· τῆς
αὐτῆς δὲ δυνάμεως ἀμφότερα· τό τε ἀρνόγλωσσον
καὶ τὸ πεντάνευρον· καυλίσκος δὲ, γωνιώδης· κεκλι-
μένος ἐπὶ τὴν γῆν· ἄνθη ὠχρά· τὸ δὲ σπέρμα ἐπ᾽ ἄκρων
τῶν καυλῶν· γίνεται δὲ πρὸς τοῖς τέλμασι καὶ φραγμοῖς·
καὶ ἐνύγροις τόποις· εὐχρηστότερον δὲ τὸ μεῖζον· δύναμιν

στύφει τὰ φύλλα ξηραντικῆς· στυπτικῆς· ὅθεν καταπλα
σσόμενα πρὸς πάντα τὰ κακοήθη· καὶ ἐξαφαντικοῦ
τα· καὶ ῥευματικά· καὶ ἀκάθαρτα ἕλκη, ἁρμόζει· ἴσ
χει δὲ καὶ αἱμορραγίας· νομάς· ἄνθρακας· ἕρπητας·
καὶ ἐπινυκτίδας· ἀπουλοῖ δὲ καὶ ἕλκη χρόνια· καὶ αἰώ
νια· καὶ τὰ χειρώνια· καὶ κόλπους παρακολλᾷ· καὶ
κυνόδηκτα· καὶ πυρίκαυστα· φλεγμονάς· παρωτίδας·
φύματα χοιράδας· καὶ αἰγίλωπας σὺν ἁλσὶ ἐπιπλαττό
μενα· ἑφθὸν δὲ τὸ λάχανον μεθ' ἁλῶν καὶ
ὄξους λαμβανόμενον κοιλιακοῖς καὶ δυσεντερικοῖς
ἁρμόζει· ποιεῖ καὶ ἀντὶ τεύτλου ἑψόμενον· ποιεῖ καὶ
ἐπιληπτικοῖς καὶ ἀσθματικοῖς πινόμενον· καὶ
παραλύτοις σὺν χυλῷ καλαμίνθης καὶ μέλιτος
πινόμενος· καὶ κολλυρίοις μίγνυται ὁ χυλός· ὁ δὲ
καρπὸς πινόμενος μετὰ οἴνου, τοὺς τῆς κοιλίας ῥευ
ματισμούς, καὶ πτύσεις αἵματος ἐπέχει· πρὸς τὰ
ἐν ὠσὶ καὶ νεφροῖς, ὀδύνας καὶ ἡ ῥίζα καὶ τὰ φύλλα
μετὰ γλυκέος· φασὶ δὲ τὰς ῥίζας τρεῖς ποθείσας ὅλας
μετὰ οἴνου κυάθων β'· καὶ ὕδατος ἴσου, τριταίῳ
βοηθεῖν· τεταρταίῳ δὲ τέσσαρας ῥίζας· ἔνιοι δὲ καὶ ἐν σώ
ματι χρῶνται τῇ ῥίζῃ πρὸς χοιράδας· καὶ ἀποδέου
σι· Γαληνός· Ἀρνόγλωσσον, ψύχει καὶ ξηραίνει· καὶ
κατ' ἄμφω, τῆς β' ἐστὶ τάξεως μετὰ τοῦ στύφειν· καὶ διὰ
τοῦτο καὶ πρὸς ἕλκη κακοήθη πάντα· καὶ πρὸς ῥεύμα
τα καὶ σηπεδόνας ἁρμόττει· καὶ πρὸς δυσεντερίαν καὶ
τὰς αἱμορραγίας ἴσχει· καὶ ὁ καρπὸς αὐτοῦ καὶ ἡ ῥίζα
παραπλησίου ἐστὶ δυνάμεως· ταῖς ῥίζαις, καὶ πρὸς ὀδόντων
ἀλγήματα χρῶνται: Κρατεύας· Ἀρνόγλωσσον σῶμα
μὲν στύφει τμητικόν· καὶ ἀφλέγμαντον· καὶ πᾶν ἕλκος ὁρμᾶ
ταῖς ... καὶ ἐπιτιθέμενον τοῖς τὰ χειρώνια ἕλκη ἔχουσιν,

Margin note: σῶμα τὸ μὲν οὖν φα / κῆ· ὁ δὲ χυλὸς / τῶν φύλλων, ταῖς / ῥευματιζομέναις ἀνα / καθαιρομέναις χ... / ... / ... / ... ὑδρικοῖς πίνεται

ὠφελεῖ. Καὶ πρὸς δὲ τὰ λοιπὰ πάντα χρυσοῦ κακο-
ἤθη καὶ λύκη ἁρμόζει :–   περὶ ἀσάρου

Ἄσαρον· οἱ δὲ νάρδος ἀγρία· προφῆται αἷμα Ἄρεως·
ὁ Ἀθηναῖος, θύσσον· αἰγύπτιοι, καράκρα· ῥωμαῖοι,
περιτρυσάμ· οἱ δὲ βάκχαρ· θοῦσκοι, σουκίνου-
μ· οἱ δέ, ναρδουρουστικοῦ· γάλλοι, βάκαρ· βοτάνη
ἐστὶ στεφανωματική· καυλία ἔχουσα γωνιώδη·
ὑποτράχεα· φύλλα δὲ ἔχει ὅμοια τοῖς κισσοῦ· ἢ χαμαι-
κισσοῦ· στίλβα· χλωρά· ἄνθη πορφυρᾶ· μικρά· ἐστὶ δὲ
ἐζαομόια ταῖς τοῦ μέλανος ἐλλεβόρου· ἀποικεῖ
τῇ ὀσμῇ καὶ δηκτικῶς· γίνεται δὲ ἐν τραχέσι τόποις καὶ
δρυμοῖς· ταύτης ἡ ῥίζα ἐπιτιθεμένη ἐν ὕδατι, βοη-
θεῖ ῥήγμασι· σπάσμασι· δυσπνοίᾳ· βηχὶ χρονίᾳ· δυ-
σουρίᾳ· ἄγει δὲ καὶ ἔμμηνα καὶ θηριοδήκτοις χρήσι-
μος σὺν οἴνῳ διδόμενον· τὰ δὲ φύλλα στυπτικά ὄντα
καὶ καταπλαττόμενα, ὠφελεῖ κεφαλαλγίας· ὀφθαλ-
μῶν φλεγμονάς· καὶ αἰγίλωπας ἀρχομένας· καὶ μα-
στοὺς ἐκ τόκων φλεγμαίνοντας· καὶ ἐρυσιπέλασιν· ἔστι
καὶ ὑπνοποιὸς ἡ ὀσμή· κρατέας· Ἄσαρον δύναμιν
ἔχει θερμαντικήν· καὶ διουρητικήν· ἁρμόζον τοῖς ὑδρω-
πικοῖς χρονίοις· ἄγει δὲ καὶ ἔμμηνα· μετὰ μελικράτου
δὲ ποθὲν τὸ ἀσαρίζας, πλῆθος ἑξάγιου ὡς ἐλλεβορός ἀλλ-
βορεεσι καθαίρει μήτραν· συνάπτεται δὲ καὶ μύροις
καὶ ἀντιδότοις :– Γαληνός· Ἄσαρον τῆς πόας ῥίζας χρή-
σιμοι· παραπλήσιας μὲν ταῖς τοῦ ἀκόρου τὴν δύναμιν :–

περὶ ἀμαράκου :

Ἀμάρακον· οἱ δέ, ἀνθεμίς· οἱ δέ, λευκάνθεμον· οἱ δὲ
παρθένιον· οἱ δὲ χαμαίμηλον· οἱ δὲ χρυσόπολις·
οἱ δὲ μαλάβαθρον· οἱ δὲ ἄνθος πεδινόν· ῥωμαῖοι,
σολισκουλοῦμ· οἱ δὲ μιλλιφόλιουμ· θοῦσκοι κηου

ταμ· ἄφροι, θαμνάκανθα· φύλλα ἔχει ὅμοια κορίῳ
λεπτά· ἄνθη λευκὰ κύκλωθεν· μέσον κεφάλιον
μήλινον· ὀσμὴν ὑπόβρομον· τῇ γεύσει πικρά· δύ
ναται δὲ ξηρὰ σὺν μέλιτι ἢ σὺν ὀξυμέλιτι ποθεῖσα, ὡς τὸ
ἐπίθυμον, φλέγμα καὶ χολὴν ἄγει· καὶ τοῖς ἀσθμα
τικοῖς ὠφελεῖ καὶ μελαγχολικοῖς· ἡ δὲ πόα χωρὶς
τοῦ ἄνθους, ὠφέλιμος λιθιῶσι καὶ ἀσθμα
τικοῖς, ποτίζεται τὸ ἀφέψημα αὐτῆς· ὑστέρας σκλη
ρυνομένης καὶ φλεγμαινούσης, ἐγκάθισμά ἐστι· κα
ταπλάσσεται δὲ καὶ πρὸς ἐρυσιπέλατα καὶ φλε
γμονὰς σὺν τοῖς ἄνθεσιν· Γαληνός· Ἀμάρακον
θερμὸν μέν ἐστι τῆς τρίτης τάξεως· ξηροῦν δὲ τῆς
β΄·—

περὶ ἀστέρος

Ἀστὴρ ἀττικός· οἱ δὲ ἀστερίσκος· οἱ δὲ ἀστέριον· οἱ δὲ
βουβώνιον· οἱ δὲ ὑπόφθαλμον· ῥωμαῖοι, ἰγγυινάλις·
Δάκοι ῥαθιβίδα· ῥάβδια ξυλώδη· ἐπ' ἄκρου ἄν
θος ἔχοντα ἀστεροειδὲς πορφυροῦν· ἢ ἐνίοτε μήλινον·
ἢ κίτρινον· ὡς ἀνθεμίδος κεφάλιον· περίσχισιν
φυλλαρίων στενῶν· τὰ δὲ περὶ τὸν καυλὸν φύλλα, προ
μήκη καὶ δασέα· ἀγρώστει ὅμοια· ἁρμόζει δὲ κατα
πλασσόμενος πρὸς βουβώνων φλεγμονάς· ὑγρόν·
ξηρὸν δὲ ἐναρμοσθὲν τῇ ἀριστερᾷ χειρὶ ὑπὸ τοῦ ἀλγοῦν
τος καὶ περιαφθὲν βουβῶνι, παύει τὴν ὀδύνην·~
Γαληνός: ἀστὴρ ἀττικός· οἱ δὲ βουβώνιον ὀνομάζουσιν·
ὅτι μὴ μόνον καταπλαττόμενον ἀλλὰ καὶ περιαπτόμενον
ἰᾶσθαι βουβῶνας πεπίστευται· ἔχει μέντοι καὶ δια
φορητικὴν καὶ ψυκτικὴν καὶ ἀποκρουστικὴν· ἀλλ' οὐ σφόδρα:
Κρατεύας· ἀστέριον· αὕτη χλωρὰ κοπεῖσα μετὰ ἀξου
γγίας παλαιᾶς ποιεῖ πρὸς κυνοδήκτους· βροχομέ
νους ὑποθυμιωμένη δέ, φυγαδεύει θηρία·~

περὶ ἀρκευθίδος·

Ἀρκευθίς· οἱ δὲ ἀρκευθίδα· οἱ δὲ μνησόθεος· οἱ δὲ
ἀκαταστάτα· ἄφροι, ζουορριγουμπουτ· αἰγύπτιοι, λι
βιούμ· ῥωμαῖοι, ζουνίπερουμ· γάλλοι, ἰουπικελ
λούς· ἔστιν ἀρκευθὶς ἡ μὲν, μικρά· ἡ δὲ μεγάλη· τῆς
μὲν μεγάλης ἀρκευθίδος ὁ καρπὸς ὅμοιός ἐστι μικροῖς
σφαιρίοις καὶ παρίσου τοῖς κωνίοις· τῆς δὲ μικρᾶς ὅμοι
ος στρύχνου· πλέον σκληρὸς καὶ οὐ κατὰ στρύχνου τῇ ἁ
παλότητι· τῇ ποσότητι δέ· δριμεῖαι δὲ ἀμφότεραι·
διουρητικαὶ καὶ πυρωτικαί· θυμιώμεναι, θηρία
διώκουσιν· ὁ δὲ καρπὸς αὐτῶν ἐδώδης· γλυκύς· θερ
μαντικός· διουρητικός· παραλαμβανόμεναι δὲ πρὸς
παλαιὰς βῆχας· ἐμπνευματώσεις· ὀνομάζεται δὲ ἀρ
κευθίς· φυλλάρια ἔχει ὅμοια καὶ παρίτῳ· δριμέα·
διὸ καὶ καταπλασσόμενα καὶ πινόμενα καὶ αὐτὰ καὶ
ὁ χυλὸς αὐτῶν μετ᾽ οἴνου, ποιεῖ πρὸς ἐχιοδήκτους· ὁ δὲ
φλοιὸς καυθεὶς καὶ μετὰ ὕδατος καταχρισθεὶς λέπρας
ἀφίστησι· τὸ δὲ ῥίνισμα τοῦ ξύλου ποθὲν, ἀναιρεῖ:-
Γαληνός· Ἄρκευθος, θερμὴ καὶ ξηρὰ τῆς τρίτης τά
ξεως· καὶ ὁ καρπὸς αὐτῆς ξηρὸς τῆς α΄ τάξεως· θε
ρμὸς δὲ ὁμοίως:-

περὶ ἀλίμου·

Ἄλιμος· οἱ δὲ σαμασώνιον· οἱ δὲ ἀρύσιμον· οἱ δὲ βρι
τανίκη· οἱ δὲ ῥαβδίον· προφῆται βασιλείου· ὁμοίως
ἁρμοῦ βάσις· οἱ δὲ θέτιος· οἱ δὲ, ὀσίριδος· οἱ δὲ ἡλίου
στέφανος· πυθαγόρας, ἱερὸς κλάδος· αἰγύπτιοι αἰ
θήνορος· ῥωμαῖοι, ἀσφησασουκιούμ· οἱ δὲ ἀμ
πουλακεῖα· θάμνος ἐστὶ φραγμίτης· ῥάμνῳ παρό
μοιος· οὐ μὴν ἀκανθώδης· ὑπόχλωρος ὅτι σύμπας,
καὶ τὰ φύλλα καθάπερ ἐλαίας· πλατύτερα μέντοι καὶ
ἁπαλώτερα· αὐξάνει μικρά· λευκὰ ὡς ἐλαίας ἐπάνω·

γεννᾶται δὲ κατὰ τὸ πλεῖστον ἐν παραθαλαττίοις τό-
ποις· καὶ φραγμοῖς· καὶ τὰ φύλλα μὲν, ἐσθίεται· τῆς
δὲ ῥίζης ∠ α̅ μετὰ μελικράτου πινομένη, ποιεῖ πρός
σπάσματα καὶ ῥήγματα καὶ στρόφους· Γάλλοι· Ἄλιμον·
θάμνος· τουτέστι φυτόν· θερμὸν ἀκράτως ἐστὶ μὲν ξηρό-
τητος ἀκράτως φρισσώδους μᾶλλον· γεννᾶται μὲν ἐν
ἡλικίᾳ πλεῖστος· ἐσθίονται δὲ τοὺς βλαστοὺς αὐτοῦ προ-
σφάτους· καὶ εἰς ἀπόθεσιν θησαυρίζονται· ἔστι δὲ σπέ-
ρματος καὶ γάλακτος γεννητικός.~

περὶ ἀλικακάβου·

Ἀλικάκαβον· οἱ δὲ δήρυκαον· οἱ δὲ φυσαλλίδα· οἱ δὲ
στρύχνον μανικόν· οἱ δὲ, δορύκνιον· Ῥωμαῖοι, ἀπολ-
λινάρις μίνορ· οἱ δὲ ἀρβαλουατίκανα· οἱ δὲ ὀγαστῶν·
δάκοι, κοικοδήλα· Ἄφροι κακκάβουμ· φύλλα ἔχει ὅ-
μοια στρύχνῳ· πλατύτερα μέντοι· οἱ καυλοὶ δὲ αὐτοῦ με-
τὰ τὸ αὐξηθῆναι χαμαικλινεῖς καὶ ἐν αὐτοῖς τισὶν ὁμοίας
φύσας καὶ ἔνδον αὐτὰς ἔχειν ὁμοίοις κερασίοις μικροῖς
πεπείροις· φύεται δὲ ἐν φραγμοῖς ἀμπέλων ἐντός, διὸ
καὶ οἱ κοινοὶ χαμαικέρασα τὰ τοιαῦτα φασί· ὧν καὶ οἱ στεφα-
νηφόροι χρῶνται, ἐμπλέκοντες τοῖς στεφάνοις· δύ-
ναμιν δὲ ἔχει στυπτικήν· ὅθεν τὰ φύλλα καταπλαττό-
μενα, ἁρμόζει πρὸς ἐρυσιπέλατα· καὶ ἕρπητας μετὰ πάλης
ἀλφίτου· καθ᾽ ἑαυτὰ δὲ ἐπιτιθέμενα λεῖα, αἰγίλωπας
θεραπεύει· καὶ κεφαλαλγίας· καὶ στόμαχον καυσούμε-
νον παρηγορεῖ· παρωτίδας δὲ διαφορεῖ σὺν ἁλσὶ χλωροῦ
καταπλασσόμενον· καὶ ὁ καυλὸς δὲ αὐτοῦ μιγεὶς πρὸς ἐ-
ρυσιπέλατα καὶ ἕρπητας σὺν ψιμμυθίῳ καὶ λιθαργύρῳ
καὶ ῥοδίνῳ ἁρμόζει· ἐνσταγεὶς δὲ παισὶν σὺν ῥοδί-
νῳ ἐμβρεχόμενον· μιγνύντας δὲ καὶ κολλυρίοις ἀντὶ ὕ-
ρα̅ δατος· ἢ ὠοῦ τοῖς προσθέμασι τὰ δριμέα εἰς τὰς ἐγχύσεις·

ὠφελεῖ καὶ ὠταλγίας· ἰᾶται δὲ καὶ ῥοῦν γυναικεῖον, ἐρίῳ
προστεθείς· δύναται δὲ καὶ ὁ καρπὸς αὐτοῦ, ἴκτε
ρον ἀποκαθαίρειν οὐρητικὸς ὤν· χυλίζεται δὲ ἡ πόα
καὶ ξηραίνεται ἐν σκιᾷ εἰς ἀπόθεσιν· ἡ πόα δὲ ἀθροιστ.:~

Περὶ ἄγνου.

Ἄγνος· οἱ δὲ λύγος· οἱ δὲ ἄγονον· οἱ δὲ λύγον· οἱ δὲ ἀμικτὸν καὶ
ἁγνόν· οἱ δὲ τρισδάκτυλον· προφῆται σεμνόν· οἱ δὲ αἷμα
ἴβεως· Αἰγύπτιοι, σουμ· Ῥωμαῖοι σάλιξ μαρίνα· οἱ δὲ
πιπεράστρουμ· οἱ δὲ, λικριστρικουμ· ὠνόμασται μέντοι ἄ
γνος, διὰ τὸ ὑποστρώννυσθαι αὐτὸν παρὰ ἐν τοῖς θεσμοφο
ρίοις ἁγνευούσαις· ἢ διὰ τὸ πινόμενον ὡς χαλινοῦσιν τὰς
σπερματικὰς ἐπὶ συνουσίαν ὁρμὰς ὑποκλύειν· καλεῖται δὲ λύ
γος διὰ τὸ εὐλύγιστον· θάμνος δέ ἐστι δενδρώδης· φυ
όμενος παρὰ ποταμοῖς καὶ πεδίοις ἐφύδροις· ῥάβ
δους ἔχων μακρὰς· δυσθραύστους· φύλλα ἐμφερῆ τοῖς τῆς
ἐλαίας καὶ ἁπαλώτερα· τὸ δὲ ἄνθος μὲν, πορφυροῦν· κύ
νοσδές· φουντῶδες καὶ βριαροειδές· φύλλα ἀπὸ μιᾶς φυῆς
ἕξ· ἠνωμένα ὡς ἑξαδάκτυλον· ἀπὸ διαστήματος ταῖς ῥά
βδοις ἐμφυόμενα καὶ οἰονεὶ μαχῶς καὶ ὡς ἐπὶ τρώας τὰ
φύλλα κρεμάμενα· ἢ δὲ λευκοῦ ἐν τῷ πορφυρίζοντι·
σπέρμα δὲ, ὡς πέπερι· καὶ τῇ δυνάμει θερμαντικόν·
διὸ καὶ θηριοδήκτοις μεμαρτύρηται βοηθεῖν καὶ ὑδρω
πικοῖς· καὶ χρονίως ἐπεχομένας τὰ ἔμμηνα· κατασπᾷ
δὲ καὶ γάλα ∠´ ποθὲν μετὰ οἴνου· τὸ δὲ ἀφέψημα, πρὸς
τὰ περὶ ὑστέραν ἐγκαθίσματα· πρὸς δὲ τὰς ἐνδακτυλίω
ζούσας· καὶ σκληρίας διδύμων, διὰ ὕδατος ἐπιπλά
ττεται· τὰ δὲ φύλλα ὑποθυμιώμενα, θηρία διώκει·
καὶ τοῖς πρὸς κεφαλαλγίαν αὐτὸν ποιεῖν λέγουσιν, οὐ προ
σεκτέον· καρώδης γάρ ἐστι· σημειωτέον κολλυτήριον ἐν ὁδοι
πορίᾳ παρατριμμάτων εἶναι ἐν χειρὶ ῥάβδιον κατεχόμενον:

περὶ ἀνδράχνης :

Ἀνδράχνη ἀγρία· οἱ δὲ ἀείζωον ἄγριον· οἱ δὲ τηλέφιον·
ῥωμαῖοι ἰλλεκέμβραμ· οἱ δὲ πορτουλάκαμ· ἄφροι, μοι
μοίμ· δάκοι, λαξ· αἰγύπτιοι, μοχμούτημ· μακεδό
νες τραύχλην· οἱ δὲ τζατζενίκα· βυζάντιοι ἀγριοχυστρίδα·
ἔχει δὲ αὕτη, πλατύτερα φυλλάρια πρὸς τὰ τῆς ἡμέρου ἀν
δράχνης καὶ δασέα· φύεται ἐν πετρώδεσι τόποις· δύνα
μιν δὲ ἔχει θερματικήν· δριμεῖαν· ἀλγούσι χοιράδων
διαφορητικὴν σὺν ὄξει ὑγιεῖ καταπλαττομένη· Γαληνοῦ·
Ἀνδράχνη, κεχραμένας τὴν κρᾶσιν, τρίτης τάξεως
ξηρὰ δὲ ἐστὶ ταρ· ὀλίγου δὲ τινος αὐστηροῦ μετέχει· διὸ
καὶ ἀποκρούεται ῥεύματα καὶ μάλιστα χολώδη καὶ θερμά·
ματα τοῦ μεταλαμβάνειν αὐτὰ κατὰ τὴν ποιότητα, καὶ
τοὺς καυσουμένους ὀνίνησι κατὰ τὰ τοῦ στόματος τῆς κοιλί(ας)
ἐπιτιθεμένη, καὶ ὅλων τῶν ὑποχονδρίων· αἱμοσ
τυ ἐστὶν ἴαμα· καὶ ὁ χυλὸς δὲ αὐτῆς ὁμοίως· οὐ μόνον ἀλλὰ ἔξωθεν
ἐπιτιθέμενος ἐν τύχῃ· τοῦτο καὶ αὐτὴ ἡ βοτάνη συμβαί
νει ὀλιγοβρωθεῖσα· διὰ δὲ τὸ ὑποστύφειν, καὶ δυσεν
τερικοῖς ἐστὶν ἀπὸ τῆς δυνάμεως ἄσκευασμα· καὶ γυναικείῳ ῥῷ· καὶ
αἱμάτων ἀναγωγαῖς· ἀστακτὶ μέν τοι, πολὺ δραστικώ
τερος τῆς πόας, ὁ χυλός ἐστιν :-

ἢ μεταβάλλει

περὶ ἀγρώστεως :

Ἄγρωστις· ἡ ἐπαμήλωτος· οἱ δὲ αἰγικόν· οἱ δὲ ἀμαξί
τις· αἰγύπτιοι, ἀνοῦφη· ῥωμαῖοι, γράμεν· οἱ δὲ
σιφολλιούμ· οἱ δὲ σεγγιναλέμ· οἱ δὲ, οὐνιολάμα·
ἀπολιοι, ἀπαρία· δάκοι, κοτιάτα· ἄφροι, ἰαβάλ·
γινώσκεται ἄγρωστις, κλήματα ἔχουσα γονατώδη· ἕρποντα
ἀπὸ κλάδων προειρημένα· ἐξ ὧν γονάτων ῥίζας γλυκείας·
φύλλα ὀξέα· σκληρά· ὑπὸ πλατέως καλάμου μικρὰ
τρέφοντα βόας καὶ κτήνη· ταύτης ἡ ῥίζα καταπλα

πτομένη λεῖα, τραύματα κολλᾷ· τὸ δὲ ἀφέψημα αὐ-
τῆς πινόμενον, ποιεῖ στρόφοις καὶ δυσουρίαις· καὶ τὰ
περὶ κύστιν ἕλκη· καὶ λίθους θρύπτει:- Γαληνοῦ

Ἀγρώστεως ἡ ῥίζα, συμμέτρως ἐστὶ ψυχρὰ καὶ ξηρά· ἔ-
χουσα τι ὀλίγον δακνῶδες καὶ λεπτομερές· διὸ καὶ
τὸ ἀφέψημα αὐτῆς πινόμενον, θρύπτει λίθους· καὶ ἐναι-
μων τραυμάτων ἐστὶ κολλητική· ἡ δὲ πόα αὐτῆς, ψύ-
χει κατὰ ἀπόστασιν σύμμετρον καθ' ὑγρότητα καὶ ξηρό-
τητα· τὸ δὲ σπέρμα ξηραντικόν ἐστι καὶ λεπτομερὲς καὶ ὑ-
πόστρυφνον:-

περὶ ἀναγαλλίδος·

τοξότου βοτάνη.

Ἀναγαλλὶς ἡ φοινική· οἱ δὲ ἀκρίτης· οἱ δὲ αἰγίτης· οἱ δὲ
ζωρίτης· προφῆται αἷμα ὀφθαλμοῦ· οἱ δὲ χελιδό-
νιον· ῥωμαῖοι, μακία· οἱ δὲ ζεπουνίδα· οἱ δὲ αὐτοῦρα· οἱ
δὲ, τούρα δουπάτω· οἱ δὲ, μασήτυπος· θοῦσκοι, ανα-
γάλλοι, κάρκαρ· δάκοι, τοῦρα· ἄφροι, ἀναρσισσοῦ:- Ἀναγαλ-
λὶς ἡ κυανῆ· οἱ δὲ κόρχορον· οἱ δὲ ἀλικάκκαβον· οἱ δὲ
ἀκλόκαρον· οἱ δὲ ἡλίου ὀφθαλμόν· οἱ δὲ ἐξηλίαυρος·
προφῆται νυκτερίτης· οἱ δὲ πλησιαλίτις· δάκοι, χε-
λιδόνιον μέγα· αἰγύπτιοι, μύκιζον· ῥωμαῖοι μακία τού-
ρα· οἱ δὲ αὐτοῦρα· θοῦσκοι ταντουμ· ἄφροι, ἀσύρρι-
σα· τῆς ἀναγαλλίδος, διττὸν τὸ εἶδός ἐστιν αὐτῆς· διαφέρουσι
τῷ ἄνθει· ἡ μὲν γὰρ κυανοῦν ἔχουσα τὸ ἄνθος θήλεια
λέγεται· ἡ δὲ τὸ φοινικοῦν, ἄρρεν· θαμνίσκοι δέ εἰσι
χαμαὶ ἐπὶ γῆς· φύλλα ἔχοντα· ἐπὶ τετραγώνων καυ-
λίων μικρά· ὑποστρόγγυλα παρόμοια τοῖς τῆς ἀλσίνης·
καρπὸν δὲ περιφερῆ· ὅμοιον κοριάνῳ· ἡ κολιαύτρω· δ
δὲ ἀμφότερα, πραϋντικὰ καὶ ἀφλέγμαντα· σκολοπ-
τάπισπαστικὰ καὶ ῥυφευχύτης· καὶ ὀδόντων πόνον παύει·
ἀνάγει τοῦ ἀντικειμένου μυκτῆρος τῷ χυλῷ ἐγχεόμενος· κα-
θαίρει καὶ ἀρτηρίαν μετὰ μέλιτος ἀττικοῦ· καὶ ἀμβλυώ-

πίαις βοηθεῖ· ὠφελεῖ καὶ ἐχιοδήκτοις· πινόμενον μετ' οἴνου· καὶ ὑδροφοβικοῖς· φασὶ δέ τινες τὴν μὲν ἔχουσαν τὸ κυανοῦν ἄνθος, πρόπτωσιν δακτυλίου στέλλειν· τὴν δὲ τὸ φοινικοῦν, ἀναθέειν μᾶλλον καταπλασθεῖσαν:—

γαληνός· Ἀναγαλλὶς ἑκατέρα ἥ τε τὸ κυανοῦν ἄνθος ἔχουσα καὶ ἡ τὸ φοινικοῦν, ξηραντικῆς δυνάμεως ἔχουσι ἀδήκτου· ὅθεν καὶ τραύματα κολλῶσι καὶ τοῖς σηπομένοις βοηθοῦσιν· εἰσὶ δὲ καὶ ῥυπτικαί, ὥστε καὶ σκόλοπας ἐπισπᾶσθαι· ὁ δὲ χυλὸς αὐτῶν, ἐκκρίνων καθαίρει· ταὐτὰ φησὶ καὶ Κρατεύας· πλεῖστόν τε καὶ νομῶν εἰσιν ἀφελκυστικαί· χρῶνται δὲ τῇ φοινικῇ, καὶ εἰς τὰς Δημοκρίτου δυνάμεις:—

περὶ ἀδιάντου·

Ἀδίαντον· οἱ δὲ πολύτριχον· οἱ δὲ τριχομανές· οἱ δὲ καλλίτριχον· οἱ δὲ ἀργύριον· οἱ δὲ κόρειον ἔνυδρον· Αἰγύπτιοι ἀπτέρ· Ῥωμαῖοι κινκίνναλις· οἱ δὲ τέρραι καπίλλους· οἱ δὲ σουπερκίλιουμ τέρραι· Δάκοι, φιθοφθεθέλα· Ἀδίαντον ἄλλο(?) ἔτερον· οἱ δὲ πτέριον· οἱ δὲ ὄπτερον· Ῥωμαῖοι, καπιλλάρεμ· οἱ δὲ πινούλαμ· οἱ δὲ φιλικλάν· φύεται ἐν συσκίοις τόποις καὶ περὶ τὰ ἔνυγρα· ῥαβδία δὲ ἔχει, στίλβοντα λίαν μέλανα· φύλλα ὅμοια πτερίδι μικρὰ λίαν· τὸ δὲ ἕτερον ἀδίαντον, τοῖς φύλλοις φακοειδέσιν ἐναντίοις ἀλλήλοις ἐπὶ τῶν ῥαβδίων· ἔστι δὲ καυλοῦ· οὔτε ἄνθος φέρει· ῥίζας ἀχρήστους· ἀφέψημα τῆς πόας βοηθεῖ πινόμενον, ἀσθματικοῖς· ἰκτερικοῖς· δυσουροῦσι· θρύπτει λίθους· κοιλίαν ἵστησι· κυνοδήκτοις βοηθεῖ· καὶ στομάχου ῥεύματι· καὶ ἔμμηνα, καὶ λοχεῖα· ἵστησι καὶ αἵματος ἀναγωγάς· ἡ τοῖς αἷμα πτύουσιν· ἀπύρετοις μὲν μετ' οἴνου· πυρέσσουσι δὲ μεθ' ὕδατος πινόμενον χρή· καταπλάττεται, καὶ πρὸς θηριόδηκτα· καὶ ἀλωπεκίας δασύνει· χοιράδας δὲ

ἀφορᾷ· ἀποστήματα· πτερὰ καὶ ἰχῶρας· σὺν κονίᾳ·
σὺν λαδάνῳ δὲ καὶ μυρσίνῳ καὶ σουσίνῳ κοινῶς σμη-
χόμενον· ποιεῖ δὲ καὶ τοὺς ἀλεκτρυόνας καὶ τοὺς ὄρ-
τυγας μαχιμωτέρους, μιγνύμενον τῇ τροφῇ· Γαλλῶ-
λοσίαν τὸν κατὰ θερμότητα καὶ ψύξιν, σπάσματα τρου·
ξηραίνει· λεπτύνει· διαφορεῖ· θεραπεύει ἀλωπε-
κίας· διαφορεῖ χοιράδας, καὶ ἀποστήματα· λίθους
θρύπτει πινόμενον· καὶ τὰς ἐν θώρακος καὶ πνεύ-
μονος ἀνάγει ὑγρασίας τῶν γλίσχρων καὶ παχέων, σὺν ἄλλοις :~

περὶ ἀρκτίου·

Ἀρκτίον· οἱ δὲ ἀρκτοῦρον καλοῦσι· φλόμῳ ἐοικὸς ἔχει
τὰ φύλλα, ἀλλὰ ὅμοια· δασύτερα δὲ καὶ στρογγυλότερα·
ῥίζαν ὁμοίαν ῥαφανίδι· ἁπαλήν· λευκήν· γλυκεῖαν·
καυλὸν δὲ μακρόν· ἁπαλόν· καρπὸν κυμίνῳ μικρῷ ὅμοι-
ον· ταύτης ἡ ῥίζα καὶ ὁ καρπὸς ἀφεψηθέντα σὺν οἴνῳ,
ὀδονταλγίας διακρατούμενον ὠφελεῖ· καὶ περὶ καυτά
καὶ χίμεθλα καταντλούμενα· ποιεῖ δὲ καὶ πρὸς ἰσχι-
άδας καὶ δυσουρίας ἐν οἴνῳ :~

περὶ ἀμμωνιακοῦ·

Ἀμμωνιακόν· οἱ δὲ ἀγασύλλαος· οἱ δέ, ῥόθηος· οἱ δὲ ἡ-
λίουστρος· ῥωμαῖοι, γουτταμμωνιάκα· αὕτη νάρθηξ
ἐστὶ φυομένη ἐν τῇ κατὰ κυρήνην λιβύῃ· ἐξ ἧς τὸ ἀ-
μμωνιακὸν θυμίαμα· τοῦτο δὲ ὁ ὀπὸς αὐτῆς ἐστὶν ὠλι-
στραφόμενος· ἐκλέγου δὲ τὸ εὔχρουν· καὶ ἄξυλον καὶ
λιβανίζον τοῖς χόνδροις καθαρὸν καὶ πυκνὸν καὶ μηδε-
μίαν ἔχων ῥυπαρίαν· καὶ τὸ ῥητινίζον τῇ ὀσμῇ σφοδρῶς·
πικρὸν δὲ τῇ γεύσει· καλεῖται δὲ τὸ τοιοῦτον θραυματῶδες·
λιθῶδες· ἢ φυρᾶδες φύραμα· συνάγεται δὲ ἐν τῇ λιβύῃ
κατὰ ἄμμωνα· χυλὸς ὢν δένδρου χλωροῦ, νάρθηκος
εἴδους· δύναμιν δὲ ἔχει μαλακτικήν· ἐπισπαστικήν·

διαλυτικὴ σκληρωμάτων· κοιλίαν τε αὐτὴν ἀσπαθεῖ·
καὶ ἄρθρων καὶ ἰσχιάδων ἀλγήματα παραστέλλει· βοηθεῖ
δὲ καὶ ἀσθματικοῖς· καὶ ὀρθοπνοϊκοῖς· καὶ ἐπιληπτι-
καῖς· ὑγρὰ ἐν θώρακι ἔχουσιν, ἐκλειχόμενον μετὰ
μέλιτος· ἢ πτισάνῃ ῥοφούμενος· ἄγει δὲ οὖρα αἱμα-
τώδη· σμήχει τὰ ἐν ὀφθαλμοῖς λευκώματα· καὶ τρα-
χύτητα βλεφάρων τήκει· λυθὲν δὲ ὄξει καὶ ἐπιτεθὲν
παύει τὰς περὶ σπλῆνα καὶ ἧπαρ σκληρίας· λύει καὶ
τοὺς περὶ τὰ ἄρθρα πώρους, μετὰ μέλιτος καταπλασσό-
μενον· ἢ καὶ πίσσῃ λυθέν· ποιεῖ δὲ καὶ πρὸς κόλπους καὶ
ἰσχιάδας σὺν συγχριόμενον, μετὰ νίτρου καὶ ὄξους καὶ κυπρί-
νου ἐλαίου:~

περὶ ἀψινθίου·

Ἀψίνθιον θαλάσσιον· οἱ δὲ σανδόνικον· οἱ δὲ σέριφον· Ῥω-
μαῖοι, σανδονικοῦμ· τοῦτο πλεῖστον γεννᾶται ἐν τῷ κατὰ
Καππαδοκίαν Ταύρῳ ὄρει· ὡς δέ τισι πόα λεπτόκαρφος ὁμοία μικρῷ
ἀβροτόνῳ μικρῷ· πλήρης σπερμάτων· ὑπόπικρος·
κακοστόμαχος· βαθύοσμος· στρυφνὸν μετά τινος θερ-
μασίας· ἡ δὲ ἀψίνθιος μετὰ μέλιτος, ἕλμινθας στρογγύλας
ἐκτινάσσει κούφως· συνάγεται δὲ καὶ σὺν ῥοφήματι· ἢ
φακῇ καθεψηθεῖσα, τὰ αὐτὰ ποιεῖ:~

περὶ ἀλύσσου·

Ἄλυσσον· οἱ δὲ ἀσπίδιον· οἱ δὲ ἁπλόφυλλον· οἱ δὲ ἀκύ-
σιτον· οἱ δὲ ἄλσυτον· οἱ δὲ σιδηρίτην· οἱ δὲ ἡράκλειον·
δύναμιν ἔχει ξηραντικὴν καὶ διαφορητικήν· ὠφελεῖ
λυσσοδήκτους· γαφροῖς ἐμφράττει· φύλλα ἔχει στρογ-
γύλα παρόμοια ἡλιοτροπίῳ· ἢ μείζονα· ἄνθος πορφυ-
ρίζον· καυλὸν ἀνίησι δισπίθαμον· ἐν ᾧ ὁ καρπὸς
παρὰ τὰς ἁρμαρῆ τὰς καρδίας τῶν φύλλων ὡς ἀσπί-
δισκια διπλᾶ· τὸ οὖν σπέρμα ποθέν, λυγμοὺς
τοὺς δίχα πυρετοῦ παύει· καὶ κρατηθὲν ἢ ὀσφρανθὲν

τὸ αὐτὸ ποιεῖ· σὺν μέλιτι δὲ, φακοὺς καὶ φίλλους ἀποκα-
θαίρει· σὺν ὀξυκράτῳ δὲ καὶ ἀλφοὺς λευκοὺς ἰᾶσθαι, συγκοπ-
ἀσθμασι τε καὶ ὀρθοπνοίᾳ· καὶ κρεμάμενον δὲ ἐν οἰκίᾳ, λύ-
γατας ἔτι καὶ κυσὶ καὶ ζώοις ἀβλαβάσκαντον· περὶ τὰ
φθονοῦσι φοίνικας ῥάκει θρεμμάτων νόσου ἀπελαύνει:~

περὶ ἀνθυλλίδος·

Ἀνθυλλὶς· οἱ δὲ ἄνθυλλον· οἱ δὲ ἀνθεμὶς· οἱ δὲ ἱερὰ
ἀνθεμὶς· οἱ δὲ λευκάνθεμον· οἱ δὲ σωρανθὶς· οἱ δὲ ἀνθο-
πεδινοῦ· ῥωμαῖοι σολαστροὺμ· ἡ μὲν γάρ τις φακῷ παρα-
πλήσια φύλλα ἔχει· καὶ κλωνία ἀπὸ θάμνου ὕψος· ὁμοίως
δὲ καὶ τὰ φύλλα μαλακά· ῥίζα λεπτὴ· μικρά· φύεται
ἐν ἁλμυροῖς ἡλίοις· γινομένῳ, ὑφαλικός· ἡ δὲ ἑτέρα
χαμαιπίτυϊ ὁμοία· καὶ τὰ φύλλα ἔοικε δασύτερα· καὶ
τὰ κλωνία μέντοι δασύτερα· καὶ τραχέα· τὸ δὲ ἄνθος,
πορφυροειδὲς· δασύτερον· βαρύοσμον ἰσχυρῶς· ῥίζα
ὡς περ καὶ χωρίου· δύναται δὲ ἡ πρώτη σὺν οἴνῳ καὶ φρενίτι-
κοῖς βοηθεῖν, πινομένη πλῆθος < ε· ἐμπλαστὶ δὲ
φλεγμονὰς τὰς ἐν ὑστέρᾳ λύει σὺν ῥοδίνῳ καὶ γάλακτι πρὸ
τῇ θερμῷ· ἰῶνται δὲ καὶ τραύματα· ἡ δὲ τῇ χαμαι-
πίτυϊ ὁμοία, μετὰ τῶν ἄλλων, καὶ ἐπιληπτικοὺς
ἰᾶται:~

περὶ ἀλίσματος·

Ἄλισμα· οἱ δὲ δαμασώνιον· οἱ δὲ ἄλκεια· οἱ δὲ ἀλκέαν·
οἱ δὲ ἄκυρον· οἱ δὲ λύρον καλοῦσι· φύλλα ἔχει, ἀρ-
νογλώσσῳ ὅμοια· στενότερα δὲ καὶ ἐπὶ γῆν κεκλιμένα· καυ-
λὸς λιτός· στενὸς· ἁπλοῦς· περὶ πῆχυν ἔχων· κεφά-
λιον, θυρσοειδὲς· ἄνθη λεπτά· ὕπωχρα· ῥίζας
ὡς μελάνθους ἐλλεβόρου· λεπτάς· εὐώδεις· δριμείας· ὑ-
πολίπαροι· ὑδρηρὰ δὲ φιλεῖ χωρία· ἁρμόζει δὲ ἡ ῥίζα
πινομένη σὺν οἴνῳ ὅσον μία ἢ δύο ὁλκαὶ, λαγωοῦ
καὶ φρυνῷ· καὶ τοῖς ὄπιον πεπωκόσι· ποιεῖ καὶ στρό-

φου· καὶ δυσεντερίᾳ· καθ' αὑτὴν καὶ σὺν οἴνῳ λαμβανομένη· ἁρμόζει, καὶ σπάσμασι· καὶ πρὸς τὰ ὑστερικὰ πάθη· ἢ πο-ισθεῖ καὶ κοιλίαν· καὶ ἔμμηνα κινεῖ· καὶ οἰδήματα κατα-πλασθεῖσα πραΰνει:~

περὶ ἀννήσου·

οἱ δὲ γλυκάνησον· οἱ δὲ ἀνδροσάρμωμον·

Ἄννησον· οἱ δέ, σίον· ῥωμαῖοι, ἄννησουμ· σπερμά-τιον ἐστὶν ἐν συρίᾳ γενόμενον· ἐοικὸς σελίνῳ· πε-ρίμηκες· μέγαν· πυρωτικοῦ· λεγόμενον καὶ πρὸς σπλῆνα καὶ δυσουρίαν ἢ ἐμμήνων ἀποχήν· χρῶνται δὲ αὐτῷ οἱ ἐπιχώριοι ἀρτύματι κατὰ τὰ κολοκύνθη, ἐ-φθῇ σὺν ὄξει λαμβανόμενον· ἄννησον τὴν μὲν καθόλου δύναμιν, ἔχει θερμαντικήν· εὔπνουν· ἀνώδυνον· ξη-ραντικήν· οὐροποιητικήν· διαφορητικήν· δοθεῖ τοῦ πι-νομένου· ἁρμόζει δὲ πρὸς τὰ ἰοβόλα· καὶ πρὸς τὰς ἐμπ-νευματώσεις· κοιλίαν ἵστησι· καὶ λευκὰ ῥοώδη· καὶ γάλα· καὶ συνουσίαν παρορμᾷ· ὑποθυμιώμενον τε ταῖς ῥισί, καὶ κεφαλαλγίαν παύει· καὶ τὰς ῥήξεις δὲ τῶν ὤτων σὺν ῥοδίνῳ λεῖον ἐνσταζόμενον ἰᾶται· ἄρι-στον δὲ αὐτοῦ καθαροῦ, τὸ νέον καὶ δυσπρού καὶ μὴ πιτυρῶδες· εὔτονον τῇ ὀσμῇ· πρωτεύει δὲ τὸ κρητικόν· ἀπ' αὐτὰς δὲ τὸ αἰγύπτιον καὶ τῶν σπερμάτων:~

περὶ ἀνδραφάξιος·

Ἀνδράφαξις· οἱ δὲ ἀνδράφαξ· οἱ δὲ χρυσολάχανον· ῥωμαῖοι, ἀτριπλικέμ· αἰγύπτιοι, ὠχί· λάχανον γνώριμον· διττόν· τὸ μέν, ἄγριον· τὸ δὲ κηπευόμενον λαχανεύεται· ἐστὶ δὲ ἑφθοῦ κοιλίας μαλακτικόν· κατα-πλασσόμενον δὲ ὠμόν τε καὶ ἑφθόν, φυγέθλα διαφο-ρεῖ· ὁ δὲ καρπὸς αὐτῆς πινόμενος μετὰ μελικράτου, ἰκτέρου θεραπεία:~

περὶ ἀκάνθης·

Ἄκανθα ἀραβική· οἱ δὲ ἄκανθα αἰγυπτία· οἱ δὲ
σκαμπαύλη· οἱ δὲ, ἀσπάραγου ἄκανθον· οἱ δὲ ζωχὸν
ἄγριον· οἱ δὲ ἀκανθίς· ῥωμαῖοι σπίνα· ἔοικε τὰ φύ-
σεως ἀναστοιχεῖ, τῆς λευκῆς ἀκάνθης· στύφει γὰρ καὶ
πρὸς ῥοῦν γυναικεῖον· καὶ πρὸς ἀναγωγὴν αἵματος· καὶ
πρὸς τοὺς ἄλλους ῥευματισμοὺς ἡ ῥίζα, παραπλησίως
ἐπιτίθεται :~

περὶ ἀκανθίου·

Ἀκάνθιον· οἱ δὲ ἀκανθίς· ῥωμαῖοι, καὶ αὐτὴν σπίναν κα-
λοῦσι· ἐμφερὴ τὰ φύλλα ἔχει τῇ λευκῇ ἀκάνθῃ· ἀπ' ἄ-
κρων δὲ, ἀκανθώδεις ἐξοχάς· ὅσ συλλεγόμενοι, βομ-
βυκοειδῆ γίνεται· καὶ φύλλα ἔχουσα ὅμοια καὶ ναρᾶς ἀρι-
δὲ ἀνθηρὰ πορφυρᾶ καὶ τριχοειδῆ ἐπ' αὐτοῖς· ταύτης ἡ ῥί-
ζα καὶ τὰ φύλλα, ὀπισθοτόνῳ βοηθεῖ πινόμενα :~

περὶ ἀκάνθου·

Ἄκανθος ἀγρία· ῥωμαῖοι, σπίνα ἀγρέστις· γίνεται καὶ
ἀγριωτέρα ἄκανθος, ἡ ἀσκολύμῳ ἐμφερής· ἀκαν-
θώδης· βραχυτέρα τοῦ ἐν παραδείσοις καὶ ἡμέρου· δύ-
ναται δὲ καὶ ταύτης ἡ ῥίζα, ὃ καὶ ἡ πρὸ αὐτῆς :~

περὶ ἀκίνου·

Ἄκινος· ῥωμαῖοι, ὤκιμα στρουθῶν· ἀστὴ λεπτόκαρφος
στεφανωματικὴ παραπλησία ὠκίμῳ· ἡ ὁμοία βλί-
τῳ· δασυτέρα δὲ καὶ εὐώδης· ἐν ἐνίοις δὲ καὶ φυτεύεται·
ἵστησι δὲ κοιλίαν· καὶ ἔμμηνα πινομένη· φύγεθλα δὲ
καὶ ἐρυσιπέλατα καταπλασσομένη, θεραπεύει :~

περὶ ἀπαρίνης·

Ἀπαρίνη· οἱ δὲ, ὀμφακόκαρπον· οἱ δὲ, φιλάνθρωπον· οἱ δὲ
ἰξοῦ· οἱ δὲ ἄγριον λιθρίδιον· οἱ δὲ κολλητρίδα· κλῶνες
πολλοί· μακροί· τετράγωνοι· τραχεῖς μάλλωτοί· φύλ-
λα δὲ ἐκ διαστήματος περικεχυμένα· κυκλοτερῶς ἀνὰ
ἕξ, ὡς τὰ τοῦ ἐρυθροδάνου· ἄνθη λευκά· σπέρμα,

σκληρὸν· ὅμοιον ἀστερίσκῳ φύλλης· ἀκανθηφόρον· στρογγύλον ὑπόποικιλον· ἐν μέσου ὡς ὀμφαλός· προσάρχεται καὶ ἱματίοις ἢ ποδ(ὶ)· χρῶνται δὲ αὐτῷ καὶ οἱ ποιμένες ἀντὶ ἠθμοῦ ἐπὶ τοῦ γάλακτος πρὸς ἀνάληψιν τῶν ἐν αὐτῷ τριχῶν· θεραπεύει τοσοῦτον μὲν καὶ οἱ καυλοὶ καὶ τὰ φύλλα χυλιασθέντα, φαλαγγιοδήκτοις πινόμενα· καὶ ὠταλγίας ἰᾶται ὁ χυλὸς ἐγχυματιζόμενος· καὶ σὺν ποδὶ μιχθεὶς· ὀξυκράτῳ, διαφορεῖ χοιράδας:~

περὶ αἰγίλωπος·

Αἰγίλωψ· οἱ δὲ ἠγίλωψ· οἱ δὲ ἀπιάδιον· οἱ δὲ στρόβιλος· οἱ δέ, ἀκρόπυλλος· οἱ δὲ σίφων· οἱ δὲ βρόμος· ῥωμαῖοι, αἰρουνώκα· ἀφροδίτης μαθ(ητ)· βοτάνιον ἐστὶν ἔχον φύλλα ὅμοια πυροῦ· μαλακώτερα δὲ πυροῦ· ἐπ᾽ ἄκρας τῆς κεφαλῆς καρπὸν ἔχον στάχυος δύο τρεῖς ἢ καὶ τέσσαρας· ἐνίοτε καὶ ἐρυθρά· ἀφ᾽ ὧν αἰθέριοι οἱονεὶ τρίχες ἐκπεφύκασι· θεραπεύει δὲ ἡ πόα μετὰ ἀλεύρου καταπλασθεῖσα αἰγίλωπας· ἀποτίθεται δὲ ὁ χυλὸς αὐτῆς πρὸς τὰ αὐτά, μίγνυται ἀλεύρῳ καὶ ξηραινθείς:~

περὶ ἀργεμώνης·

Ἀργεμώνη ἑτέρα· οἱ δὲ ἀργεμώνην· οἱ δὲ ἀρσιαλίμ· οἱ δὲ σαρκοκόλλαν· ῥωμαῖοι ἀργεμονίαμ· φράγγοι, πεντάφυλλον· οἱ δὲ πεντάφυλλον μακρὰ καὶ πολύκλονος· ἄνθος μὲν κόκκινον· καρπὸς ὅμοιος ἀνακαρκίνῳ· τοῖς μὲν γὰρ φύλλοις, ὅμοια πενταφύλλῳ· στενότερα δὲ καὶ μακρόκλωνος· καὶ ἀπὸ τῶν κλώνων πρὸς γῆν· καὶ αὐτὴ παρέοικε μέν, ἀγρίᾳ μήκωνος τοῖς φύλλοις· δύναμιν δὲ ἔχει αὕτη χλωρὰ τριβομένη καὶ λεία καὶ ἐπιτιθεμένη, διακοπὰς θεραπεύει· καὶ ὀφθαλμῶν φλεγμονὰς παύει· ἁρμόζει δὲ καὶ δυσεντερικοῖς ὕδατι πινομένη· κολλητικὴ δὲ τραυμάτων καὶ

φλεγμονῶν, ἀρσὶν ἐπίθετος· ὡσαύτως ἐπὶ τῶν θηλειῶν ἀφασμάτων· καὶ τῶν κλασμάτων· ἔστι θεραπευτική· ἁρμόζει καὶ θηριοδήκτοις σὺν οἴνῳ πινομένη.

περὶ ἀκόρου.

Ἄκορον· οἱ δὲ χόρος· οἱ δὲ ἀφροδισία· ῥωμαῖοι βενερία· οἱ δὲ ναυτικὰ ῥαδίξ· γάλλοι πιπεραπιουμ· τὰ μὲν φύλλα ἔχει ἐμφερῆ ἴριδι· στενώτερα δὲ· καὶ τὰς ῥίζας ἐμφερεῖς· ἀλλ' ἀπεπλεγμένας δὲ καὶ οὐκ εὐθεῖς πεφυκυίας· ἀλλὰ πλαγίας καὶ ἐξ ἐπιπολῆς γόνασι διειλημμένας· ὑπολεύκους· δριμείας δὲ τῇ γεύσει· καὶ τῇ ὀσμῇ, οὐκ ἀηδεῖς· διαφέρει δὲ τὸ πυκνὸν καὶ τὸ λευκὸν· ἄβρωτον· πλῆρες εὐωδίας· τοιοῦτον δ' ἐστὶ τὸ ἐν τῇ κολχίδι· καὶ ἐν τῇ γαλατίᾳ, ἀσπλήνιον λεγόμενον· δύναμιν δ' ἔχει ἡ ῥίζα, θερμαντικήν· τὸ δὲ ἀφέψημα, οὐρητικὸν, ἁρμόζον πρὸς πλευρᾶς πόνους καὶ θώρακος καὶ ἥπατος· καὶ στρόφους· καὶ ῥήγματα· σπάσματα· σπλῆνας τήκει· ὠφελεῖ καὶ στραγγουρίουσι· καὶ θηριοδήκτοις· καὶ εἰς ἐγκαθίσματα ὡς ἶρις πρὸς τὰ γυναικεῖα ἁρμόζει· ὁ δὲ χυλὸς τῆς ῥίζης ἀποκαθαίρει, καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις· μίγνυται δὲ καὶ ταῖς ἀντιδότοις ἡ ῥίζα χρησίμως.

περὶ ἀμώμου.

Ἄμωμος· οἱ δὲ ἄμμι· ῥωμαῖοι ἄμμιουμ· ἀλεξανδρινοί· ἔνιοι καὶ τοῦτο αἰθιοπικὸν κύμινον· οἱ δὲ βασιλικὸν κύμινον ἐκάλεσαν· ἑτέρας δὲ φύσεώς τὸ ἄμμι· γνώριμον δὲ κόμας ἔχει καὶ κλῶνας καὶ φυλλάρια, ὅμοια μαράθρῳ· τὸ δὲ σπερμάτιον, μικρότερον πολλῷ τοῦ κυμίνου· ὀριγανίζον τῇ γεύσει· ἐκλέγου δὲ τὸ καθαρὸν· καὶ πίτυρον ... δύναμιν δ' ἔχει τοῦτο θερμαντικὴν· ξηραντικὴν· ποιοῦν πρὸς στρόφους· δυσουρίαν καὶ θηριοδήκτους πινόμενον σὺν οἴνῳ· ἄγει καὶ ἔμμηνα· μίγνυται δὲ καὶ τοῖς δια-

καν θηρίοις δηρίοις, πρὸς τὸ δ' ὅτι πάσχειν τὰς ἐπιτι
νομένας δυσουρίας· καὶ ὑπώπια σὺν μέλιτι καταχ
πλασθέν, αἴρει· τρίψας δὲ καὶ χρόαν πινόμενον καὶ
συγχριόμενον ἐπὶ τὸ χλωρότερον· ὑποθυμιώμενον δὲ
μετὰ σταφίδος ἢ ῥητίνης, ψώρας ἀποκαθαίρει·:–

περὶ ἀκάνθης λευκῆς·

Ἄκανθα λευκή· οἱ δὲ ἀγρία κινάρα· οἱ δὲ ἀδονακῖτις·
οἱ δὲ ἀρνοσκήπτρου· ῥωμαῖοι σπίνα ἄλβα· οἱ δὲ ἀρή
για· οἱ δὲ καρδοῦς βαμπηρία· φύεται ἐν ὄρεσι καὶ ὑ
λώδεσι τόποις· φύλλα, χαμαιλέοντι λευκῷ ἐμφερῆ
ἔχουσα· στενότερα δὲ καὶ λευκότερα· δασέα· ἀκανθώ
δη· καυλὸν ὑπὲρ δύο πήχεις· δακτύλου τοῦ μεγάλου τὸ πά
χος, ἢ καὶ μείζονα· ὑπόλευκον· ἀκανθώδη· κενὸν
ἔνδοθεν· ἐπ' ἄκρου δὲ αὐτοῦ, κεφαλὴ πρόσεστιν ἀκαν
θώδης· ἐχίνῳ θαλασσίῳ ἐμφερής· οὐ λίαν πλατεῖα,
καὶ ὑπομήκης· ἄνθη πορφυρᾶ· ἐν οἷς τὸ σπέρμα ὡς
κνῆκος· στρογγυλότερον δέ· ταύτης ἡ ῥίζα πινομένη,
ποιεῖ πρὸς αἱμοπτοϊκούς· κοιλιακούς· στομαχικούς·
οὖρα κινεῖ· καταπλάσσεται δὲ πρὸς οἰδήματα· τὸ δὲ
ἀφέψημα αὐτῆς, ὀδονταλγίαις ἁρμόδιον ἐστὶ διάκλυσ
μα· τὸ δὲ σπέρμα πινόμενον, παισὶ σπωμένοις
βοηθεῖ· καὶ ἑρπετοδήκτοις :–

περὶ ἀγχούσης·

Ἄγχουσα· οἱ δὲ ἀλκιβιάδιον· οἱ δὲ ὀνοχειλὲς καλοῦσιν·
ἡ πόα αὕτη διαφέρει τῆς ἑτέρας, τὸ μικρότερα ἔχειν τὰ
φύλλα· τραχέα δέ, ὅμοια καὶ τὰ κλωνία· ἄνθη δὲ,
πορφυροειδῆ· ὑποφοινικίζοντα· ἃ δὴ κεφαλὰς
τῶν κυκλωναρίων ἄκρας· καὶ ἐπικαμπεῖς κατὰ σκορπί
ουρα· ῥίζας δέ, ἐρυθράς· ἐμμήκεις· περὶ τὸν τό
πον ἔχούσας· ἄγουσιν αἱματώδη· φύονται ἐν ἀμμώ

δυσὶ τόποις· σκευάζεται δὲ αὐτῶν καὶ τῶν φύλλων, θη-
ριοδήκτοις βοηθεῖν· μάλιστα δὲ ἐχιοδήκτοις, ἀθιόμενα
καὶ πινόμενα καὶ περιαπτόμενα· καὶ μεμασημένος
εἰς τὸ στόμα τοῦ θηρὸς ἐὰν ἀποπτύσῃς, ἀποκτενεῖς
αὐτό:~ Ἔστι δὲ καὶ ἄλλη ἐμφερὴς αὐτῇ· ἐλάττονα δὲ
καρπὸν ἔχουσα· φοινικοῦν· ὃν ἄν τις μεμασημένος
ἐμπτύσῃ εἰς τὸ στόμα ἑρπετοῦ· ἀποκτενεῖ αὐτό· ἡ δὲ
εἴλημα τὰ ἄνω που καὶ καρποσπέρμου ποθεῖσα ὡς ὀξυβά-
φου πλῆθος· πλεῖον ἐκ μὴν οὐ συμβάλλει:-

περὶ ἀσπαράγου

Ἀσπάραγος πετραῖος· οἱ δὲ μυάκανθον· οἱ δὲ μύϊον·
οὗ τὸ καυλίον ἑψηθὲν καὶ βρωθὲν κοιλίαν μαλάσσει· καὶ
οὖρα κινεῖ· τῶν δὲ ῥιζῶν τὸ ἀφέψημα πινόμενον, βοη-
ου θεῖ δυσουριῶσιν· ἰκτερικοῖς· ἰσχιαδικοῖς· φαλαγγιοδή-
κτοις σὺν μετ' οἴνου ἀφεψημένων· καὶ ὀδονταλγοῦσι διακρα-
τούμενον τοῦ ἀφεψήματος ἐπὶ τῶν πονούντων ὀδόντων·
ποιεῖ δὲ καὶ πρὸς τὰ αὐτὰ καὶ τὸ σπέρμα πινόμενον· φα-
σὶ δὲ καὶ τοὺς κύνας πίνοντας τὸ ἀφέψημα αὐτοῦ θνή-
σκειν· ἔνιοι δὲ ἱστορήκασιν ἐάν τις κριοῦ κέρατα συγκό-
ψας κατορύξῃ, φύεσθαι ἀσπάραγος:~

περὶ ἀστραγάλου·

Ἀστράγαλος· οἱ δὲ χαμαισύκην· οἱ δὲ ὄνυξ· οἱ δὲ γαστρίς·
Ῥωμαῖοι πινοῦμ λιτουρβιοῦμ· ὁμοίως· φικοῦμ τύρας·
οἱ δὲ γλαυκοδουλαμ· οἱ δὲ, τιοῦμ· οἱ δὲ νωνδρικαμ· θάμνος
μικρὸς ἐπίγειος φυόμενος· καὶ κλωνίοις, ἐρεβινθώδεσιν ὅμοιος
ἄνθη, πορφυρᾶ μικρά· ῥίζα δὲ ὑπερστρογγύλη, ὥσπερ
ῥάφανος εὐμεγέθης· χρόα φοινικῇ πρὸς τὸ μελαντέρου·
καὶ παραφυάδας, ἔχουσα στερεὰς ὁμοίας τῷ χρώμα-
τι· σκληρὰς ὡς κέρατα· αὐτεμπεπλεγμένας ἀλλήλαις·
φύεται ἐν ἐνηλίοις καὶ χιονιζομένοις τόποις· πολλή

δέσιν ἐν ἄρθροις· ἴσχει δὲ καὶ ῥεύματα τὰ ζεόμενα ἐν οἴνῳ ποθέντα· κινεῖ καὶ οὖρα· ποιεῖ καὶ πρὸς παλαιὰ ἕλκη, ξηρὰ ἐπιπασσόμενα· καὶ αἷμα ἴσχει· κόπτεται δὲ δυσχερῶς :~

περὶ ἀτρακτυλίδος·

Ἀτρακτυλίς· οἱ δὲ, ἀνδρόσαιμον· οἱ δὲ ἄμυρον· οἱ δὲ κνῆκος ἀγρία· οἱ δὲ ἀπόσιον· προφῆται αἷμα φάσρος· αἰγύπτιοι ἀχίνος· ῥωμαῖοι, πρασηπιουμ· οἱ δὲ φούσους ἀγράστις· οἱ δὲ, κουκουλαρουσικα· ἄκανθά ἐστι ἐοικυῖα κνήκῳ· μακρότερα δὲ πολλῷ φύλλα ἔχουσα, ἐπ' ἄκρων τῶν ῥαβδίων· τὸ δὲ πλεῖον γυμνὸν· τραχύ· ᾧ καὶ αἱ γυναῖκες χρῶνται ἀντὶ ἀτράκτου· ἔχει δὲ κεφάλια ἐπ' ἄκρου, ἀκανθώδη· ἐχίνῳ θαλασσίῳ ὅμοια· ἄνθος πορφυροῦν ἴσα τῆς λευκῆς ἀκάνθης· ἐνίοις τόποις ὠχροῦ· ῥίζα λεπτὴ ἄχρηστος· ταύτης τὰ φύλλα καὶ ἡ κόμη καὶ ὁ καρπὸς λεῖα ποθέντα σὺν πιπέρει καὶ οἴνῳ, σκορπιοδήκτους ὠφελεῖ· ἔνιοι δὲ ἱστοροῦσι· τοὺς ἀλγοῦντας μέχρι μὲν ἂν κρατῶσι τὴν πόαν, ἀνωδύνως μένειν· ἀποθεμένους δὲ ἀλγεῖν :~

περὶ ἀφάκης:

Ἀφάκη· θαμνίον ἐστὶ φυόμενον ἐν ἀρούραις· καυλὸς, ὑψηλός· λεπτόφυλλος μικροῦ ἐξ αὐτῆς ῥίζης· τὰ δὲ ἐπ' αὐτοῦ θυλάκια, μείζονα τοῦ φακοῦ, περικαλύπτει καί· ὅπερ καὶ τριῶν ἢ τεσσάρων μελάνων (ὑπὲρ τὰ ἄλλων) μικροτέρων· δύναμιν δὲ ἔχει τὸ σπέρμα, στυπτικήν· ὅθεν ὑπέχει ῥεύματα κοιλίας καὶ στομάχου, φρυγόμενα καὶ ἑψόμενα ὥσπερ φακός :~

περὶ ἀγηράτου·

Ἀγήρατον· θάμνος φρυγανώδης· δισπίθαμος· τὸ πᾶν ἁπλοῦς· ἐμφερὴς μάλιστα ὀριγάνῳ· σκιάδιον ἔχων ἀφ' οὗ ἄνθος πομφολυγῶδες· χρυσοειδές· ἔλαττον ἑλιχρύσου ὠνόμασαι δὲ διὰ τὸ ἐπὶ πολὺ τὸ ἄνθος ὁμοίως

δὲ φυλάττεσθαι· δύναμιν δὲ ἔχει τὸ ἀφέψημα αὐτῆς
πυρωτικήν· καὶ αὐτὴ πινομένη, οὖρα ἄγει καὶ τὰ περὶ
ὑστέραν ἄγει· ἐμμαλάσσει:~

περὶ ἀκονίτου

Ἀκόνιτον· οἱ δὲ παρδαλιαγχές· οἱ δὲ κάμμαρον· οἱ δὲ θη-
λύφονον· οἱ δὲ μυοκτόνον· οἱ δὲ ἶρις ἀγρία· φύλλα γ΄ ἢ δ΄
ὅμοια κυκλαμίνῳ· ἢ συκῆς ἀγρίας μικρότερα καὶ ὑπο-
τραχέα φέρει· καυλοὺς σπιθαμιαίους· ῥίζαν ὁμοίαν
σκορπίου οὐρᾷ· στίλβουσαν· μέλαιναν· ἀλαβαστροειδῆ· ταύ-
την τὴν ῥίζαν φασὶ προσαφθεῖσαν σκορπίῳ, παραλύειν
αὐτόν· διεγείρεσθαι δὲ πάλιν, ἐλλεβόρου προστεθέντος·
μίγνυται δὲ, καὶ ὀφθαλμικαῖς ἀνωδύνοις δυνάμεσι·
κτείνει παρδάλεις καὶ ὗς· καὶ λύκους· καὶ πᾶν θηρίον·
κρέασιν ἐντεθέμενον καὶ παρακαλυμμένον:~

περὶ ἀκονίτου·

Ἀκόνιτον ἕτερον· οἱ δὲ κυνοκτόνον· οἱ δὲ λύκειον· ῥωμαῖ-
οι, κολυμάστρουμ· συντίθησι καὶ δηλητηριώδεις ἐς
δυνάμεις· ὅθεν τὸ ἄσωθεν αὐτοῦ μηλοπαίου· τὸ δὲ
ἔξωθεν ἐπὶ τῶν σηπεδόνων διαομένων ἅλικας χρησταίον αὐ-
τῷ· τούτων γένη εἰσὶ τρία· τὸ μὲν ἕν, ᾧ κυνηγέται
χρῶνται· τὸ δὲ δεύτερον ἰατροί· τὸ τρίτον λεγόμενον πον-
τικόν· γεννᾶται μὲν πλεῖστον ἐν Ἰταλίᾳ, ἐν τοῖς καλου-
μένοις Οὐεστίνοις ὄρεσι· διαφέρον τοῦ πρὸ αὐτοῦ· φύλ-
λα δὲ ὅμοια πλατάνῳ· μᾶλλον δὲ ἐπεσχισμένα· καὶ μι-
κρότερα πολλῷ· καὶ μελάντερα· καυλὸν δὲ καθά-
περ πτέριδος ψιλόν· ὕψος, πήχεος ἢ μεῖζον· καρποὺς δὲ
ἐν λοβοῖς ἐπιμήκεσιν· ὁμοίοις φασιόλου· ῥίζας ὡς παρ
καρίδας θαλασσίας ὑπὸ τὰς πλεκτάνας αὐτῶν· μελαίνας
ταύταις χρῶνται πρὸς τὰς τῶν λύκων ἀναιρέσεις ξηράς·

αὐτῇ θέντες κρέασιν ὠμοῖς· φονεύουσι γὰρ πάντες ἀπο-
θνήσκουσιν οἱ λύκοι:~

περὶ ἀποκύνου·

Ἀπόκυνον· οἱ δὲ κυνάγχιον· οἱ δὲ παρδαλιαγχές· οἱ δὲ, κυνόμορον· οἱ δὲ φαλλιός· οἱ δὲ ὀλίγωρος· ἢ πομάλιος· ὄνησις· ῥωμαῖοι βρασσικα ρουστικα· οἱ δὲ κανίνα· θάμνος ἐστὶ ῥάβδους ἔχων μακράς· λυγώδεις· δυσθραύστους· φύλλα δὲ κισσῷ ὅμοια· μαλακώτερα· κατάκρως βαρύοσμα· ὑπόγλισχρα· ὀποῦ μεστὰ μηλίνου· καρπὸς δὲ ὡς λοβὸς κυάμων· περὶ δάκτυλον τὸ μῆκος· θυλακώδης· ἐν ᾧ σπερμάτια σκληρὰ, μέλανα· ταύτης τὰ φύλλα στέατι ἄρτῳ ποιηθέντα· καὶ παραβληθέντα, κτείνει λύκους· ἀλώπεκας· καὶ παρδάλεις· παραχρῆμα δὲ, παραλύει τὰ ἰσχία:~

περὶ ἀγχούσης·

Ἄγχουσα· οἱ δὲ κατάρχουσα· οἱ δὲ λιβυκόν· οἱ δὲ ἀρχιβύλλιον· οἱ δὲ ἀλκιβιάδιον· οἱ δὲ ὀνοχειλές· οἱ δὲ πορφυρίς· οἱ δὲ μηδοῦσα· οἱ δὲ ἕλυξ· οἱ δὲ νωναία· ἄφροι, βουΐνασα· φύλλα μὲν μακρὰ θριδακίνης τῆς ὀξυφύλλου παραπλήσια ἢ τῆς ὀξαλίδος μᾶλλον· τραχέα· μέλανα· πολλὰ· πανταχόθεν τῆς ῥίζης πρὸς πεπλασμένα τῇ γῇ· ἀκανθώδη· ῥίζα δακτύλου μεγάλου πάχος· τὴν χρόαν, ~φασμον· ἐν τῷ θέρει γενομένην· καὶ βάπτουσα τὰς χεῖρας· αὐτὴ πορφυρᾶ· φύεται, ἐν εὐγέοις τόποις· ἔστι δὲ ἡ ῥίζα στυπτικὴ ποιοῦσα πρὸς κατακαύματα· καὶ πρὸς αὐτόματα ἕλκη, ἀφεψομένη μετὰ κηρωδοῦς ἐλαίου· ἕρπησι παλαιοῖς δὲ σὺν ἀλφίτῳ καταπλασθεῖσα ἰᾶται· θεραπεύει δὲ καὶ ἀλφοὺς καὶ λέπρας· καὶ λειχῆνας· σὺν ὄξει καταπλασσομένη· πρός τι θεμένη δὲ, καὶ ἔμ-

βρυα καταπασσομένη· τὸ δὲ ἀφέψημα αὐτῆς δίδοται ἰκ-
τερικοῖς· νεφριτικοῖς· σπληνικοῖς· πυρέσσουσιν,
μετὰ μελικράτου· τὰ δὲ φύλλα, κοιλίαν ἵστησι μετ' οἴ-
νου πινόμενα· χρῶνται καὶ οἱ μυρεψοὶ τῇ ῥίζῃ πρὸς
τὰς στύψεις τῶν μύρων:~ Γαληνός· Ἄγχουσα, ἡ
δ' οὖν τῆς αὐτῆς ἁπάσας δυνάμεως· ἀλλ' ἡ μὲν ὀνοκλείας
καλουμένη, ῥίζαν ἔχει στύφουσάν τε ἅμα καὶ ὑπόπικρον·
ὥστε καὶ πυκνοῦν τε τὰ σώματα, καὶ μετρίως λεπτύνειν
καὶ ἀπορρύπτειν καὶ ἀποπλύνειν τοὺς χολώδεις τε καὶ ἁλμώ-
δεις χυμούς· καὶ ἰκτερικοῖς καὶ σπληνικοῖς καὶ νεφριτι-
κοῖς ὠφέλιμος· ἔστι δὲ καὶ ψυκτικῆς δυνάμεως· καταπλασσο-
μένη δὲ σὺν ἀλφίτοις, ἐρυσιπέλασιν ὠφελεῖ· πινο-
μένη τε καὶ ἔξωθεν ἐπιτιθεμένη ἀπορρύπτει· διὰ τοῦ-
το, ἀλφοὺς καὶ λέπρας ἰᾶται σὺν ὄξει· καὶ ἡ λύκα-
ψος ὠνομασμένη, τοιαύτη ἐστί· στυπτικωτέραν ἔ-
χουσα ῥίζαν· ἡ δὲ, ὀνόχειλος, δύναμιν ἔχει φαρμα-
κωδεστέραν· πλεῖον γὰρ ἔχει τὸ δριμύ· καὶ ἀχῶρσι τοῖς
ἱκανῶς ἁρμόττει καταπλαττομένη καὶ περιαπτομένη·
ἡ δὲ τρίτη καὶ μικροτέρα ἔτι φαρμακωδεστέρα· ἐπιτηδεία δὲ,
πρὸς ἕλμινθας, πλῆθος ὀξυβάφου πινομένη, σὺν
ὑσσώπῳ καὶ καρδαμώμῳ:~

περὶ αἴρας·

Αἶρα· οἱ δὲ θύαρος· Ῥωμαῖοι, ἀθαλιουμ· ἡ δὲ γε-
νομένη αἶρα ἐν τῷ σίτῳ ἀλεσθεῖσα, δύναμιν ἔχει ἐπι-
φαγεδαινικῶν· νομῶν καὶ σηπεδόνων· καὶ γαγγραί-
νης, μετὰ ῥαφανίου καὶ ἁλῶν καταπλασσομένη· καὶ λειχῆ-
νας ἀγρίας· καὶ λέπρας· σὺν θείῳ ἀπύρῳ θεραπεύει· σὺν
κόπρῳ δὲ περιστερᾶς καὶ λινοσπέρμῳ ἑψομένη ἐν οἴνῳ,
χοιράδας διαλύει· καὶ τοὺς δυσπέπτας, ῥήσσει· ἰσχιαδι-
κοὺς δὲ σὺν μελικράτῳ ἑψηθεῖσα καὶ καταπλασσομένη ὠφελεῖ·

ὠφελεῖ· σκευάζεται δὲ ἢ λιβανωτῷ· ἢ σμύρνῃ· ἢ κρομμύῳ·
ὑποθυμιώμενα, συνεργεῖ συλλήψεσιν:— Γαληνοῦ·
Αἶρα, ἐν ἀρχῇ μὲν τρίτης τάξεως τῶν θερμαινόντων·
δευτέρας δὲ τῶν ξηραινόντων· δριμεῖα τε λεπτομερές:—

περὶ ἀκάνθης·

Ἄκανθα· οἱ δὲ ἀρβάκανθα· οἱ δὲ μελάμφυλλον· οἱ δὲ παιδέρωτα· ῥωμαῖοι, ἀκανθισοπία· οἱ δὲ μαμουλάρι· οἱ δὲ κρεπούλα· φύεται ἐν παραδείσοις καὶ πετρώδεσι καὶ παρύγροις χωρίοις· ἔχει δὲ πλατύτερα φύλλα τῆς θρίδακος· ἀπεσχισμένα· ὡς τὰ τοῦ εὐζώμου· ὑπομέλανα λιπαρὰ λεῖα· καυλοὺς λείους· δίπηχεις πάχος δακτύλου· καὶ διαστημάτων πρὸς τῇ κορυφῇ φυλλαρίοις περιειλημμένον· καὶ τοῖσιν οἷον καὶ παρίαοις, ἐπιμήκεσιν ὑφ᾽ ὧν ἐξανθοῦσιν· ἐξ ὧν τὸ ἄνθος λευκὸν προΐεται· σπέρμα ὑπόμηκες· χλῶον· θυρσοειδὴς δὲ ἡ κεφαλή· ῥίζαι δὲ ὕπεισι γλίσχραι· μυξώδεις· ἔμπυρροι· μακραί· καὶ ὑπόλευκοι· αἵτινες, πυρικαύστοις καὶ ἑλκώμασιν ἁρμόζουσι καταπλασσόμεναι· πινόμεναι δέ, οὖρα ἄγουσι· καὶ κοιλίαν ἱστᾶσι· καὶ ῥήγμασιν εὐθετοῦσιν:—
Γαληνοῦ· ἀκάνθου ἢ μελαμφύλλου· ἢ παιδέρωτος· ταύτης τὰ μὲν φύλλα διαφορεῖ μετρίως· ἡ δὲ ῥίζα ξηραντική· καὶ τμητική· καὶ λεπτομερής:—

περὶ ἀρκείου·

Ἄρκιον· οἱ δὲ προσώπιον· οἱ δὲ ἀπαρίνη· ῥωμαῖοι, πυρσωνάκιαρ· οἱ δὲ λάππα· οἱ πολλοὶ πλατυμαντήλαν· οἱ δὲ ἀρκολάπατον· οἱ δὲ κολλητζίδα· φύλλα ἔχει, ἐοικότα τοῖς τῆς κολοκύνθης· μείζονα μέντοι, καὶ σκληρότερα· καὶ μελανότερα· καὶ δασέα· καυλὸν ὑπόλευκον· ἐνίοτε δὲ καὶ ἄκαυλος· ἢ πόας ἐν τοῖς τόποις· ῥίζα μεγάλη· μέλαιναν κατὰ τὴν ἐπιφάνειαν· ἔσωθεν λευκή·

ἥτις ποθεῖσα ⟨δραχ. α'⟩ ὁλκῆ πλῆθος καὶ τὰς στροβιλίων,
βοηθεῖ ἀσθματικοῖς· καὶ ἐν πυρὶ παύει· καὶ τὰς ἐν
τῶν λυγισμῶν περὶ τὰ ἄρθρα θεραπεύει· καὶ τὰ πλατεῖ-
α μὲν ἡλκῶσθαι· καὶ τὰ φύλλα δὲ ὠφελίμως ἐπὶ τῶν παλαιῶν
ἑλκῶν καταπλάττεται:~

περὶ ἀκτῆς·

Ἀκτῆ· οἱ δὲ σύνδενδρον ἄκτου· οἱ δὲ ἥμαρον· Ῥωμαῖοι σα-
βούκουμ· Γάλλοι σκοβιηκ· Δάκοι σεβά· οἱ πολλοὶ κου-
φοξυλᾶς· ἡ μὲν γάρ ἐστι συνδρώδης· κλάδους ἔχουσα
καλαμοειδεῖς· στρογγύλους· ὑποποικίλους· ἐν μήκει
τὰ δὲ φύλλα, δ'· ἢ ε'· ἢ ζ'· ἐν διαστήματι περὶ τὴν· κα-
ὅμοια καρύᾳ βασιλικῇ ὅμοια· βαρύοσμα δὲ καὶ μικρό-
τερα· ἐπ' ἄκρων δὲ τῶν κλάδων σκιάδια περιφερῆ, ἔχου-
τα ἀνθηλὰ λευκά· τούτων τὸ στέμφυλον ὃ ταῖς γυναικῶν λευ-
κώματα· καρπὸν δὲ ἐοικότα τερμίνθῳ ἐν τῷ μέλανι, ὑπο-
πόρφυρον· βοτρυοειδῆ· πολύχυλον· οἰνώδη· ὅστις
ἐν οἴνῳ πινόμενος παρὰ τὴν διαίταν, ἀρήγει· καὶ ὑχρο-
δήκτοις ὁμοίως πινόμενος ἀρήγει· καὶ διορθοῦται τὰ πε-
ρὶ τὴν διάθεσιν· μελαίνει δὲ καὶ τρίχας ἀγχριόμενος·
τὰ δὲ φύλλα πρόσφατα καὶ ἁπλᾶ ἐπιτιθέμενα, ὀφ-
θαλμῶν φλεγμονὰς παύει· καὶ κυνοδήκτοις κατα-
πλασμα σὺν ἀλφίτῳ καὶ κατακαύμασιν ἁρμόζει:~

Γαλλικῶς· Ἀκτῆ· οἱ δὲ, λιβούρια· ἡ δὲ μεγάλη καὶ συνδρό-
δης· ἡ δὲ βοτανώδης ἑτέρα· ἣν καὶ χαμαιάκτην· οἱ δὲ
λιβούρια· οἱ δὲ ἑλιβαρία ὀνομάζουσι· ξηραντικῆς
ἀμφότεραι δυνάμεως εἰσί· κολλητικῆς τε, καὶ μετρί-
ως διαφορητικῆς:~

ΑΡΧΗ ΤΟΥ ΒΗΤΑ

περὶ βουνίου:~

Βούνιον· οἱ δὲ ἄλτον· οἱ δὲ ἀκτίνην· οἱ δὲ ἀνθεμόσφορον·

προφῆται παρδάλου σαῦρον· αἰγύπτιοι, ἀρξώθ· ῥω μαῖοι, σκωπορηγία· ἄφροι, γιζάκ· οἱ δὲ ἐχθρεμεντώ· καυλοὺς δὲ ἀφίησι τετραγώνους· καὶ ἐν αὐτῷ κλωνάρια περὶ πολλὰ φυλλαρίων λεπτῶν· καὶ ἀνθῶν μικρῶν· ὠχρῶν· πολύκλωνον· ἐρπύζει· τὰ ἐξ ἀποστάσεως τυλιάζον· φύλλα δὲ πρὸς τῇ ῥίζῃ ὅμοια σελίνῳ· λεπτότερα δὲ πολλῷ πρὸς τὰ τοῦ τριβόλου· ἄνθος δὲ ὡς ἀνήθου· σπέρμα ἴσχει ὡς ὑοσκυάμου μικρότερον· ἔστι δὲ διουρητικόν· θερμαντικόν· καὶ δὲ λίθων θρυπτικόν· ἀπαλείφεται καὶ νεφροῖς καὶ κύστει καὶ τῇ ὀσφύϊ· χρῆσθαι δὲ αὐτῷ ὑγροῦ τε καὶ ξηροῦ καὶ χυλισθέντος σὺν ταῖς ῥίζαις καὶ τοῖς φύλλοις, μετὰ μελικράτου:~ Γαληνός· βουνίου· ἤτοι

περὶ βαλαυστίου·

βαλαύστιον, ἄνθος ἐστί, ἀγρίας ῥοᾶς· ἔστι δὲ αὐτοῦ εἴδη πλείονα· εὑρίσκεται δὲ καὶ λευκόν· καὶ πορφυροῦν καὶ ῥοδόχρουν· ἔοικε δὲ κυτίνῳ ῥοᾶς· χυλίζεται δὲ ὡς ὑποκιστίς· δύναμιν δὲ ἔχει στυπτικήν· ποιοῦν πρὸς ἃ καὶ ἡ ὑποκιστὶς καὶ ὁ κύτινος:~

ἤτοι ἀρκτῖον, τῶν θερμαινόντων ἐστὶν οὗτος, ὡς οὐρητικόν τε εἶναι καὶ καταμηνίων ἀγωγόν· καὶ τὸ ἄλλο βούνιον παραπλησίως αὐτῷ θερμαίνει:~

περὶ βουφθάλμου·

βούφθαλμον· οἱ δὲ βαλσαμίνη· προφῆται, αἰλουροῦ· οἱ δὲ γόνος ἑρμοῦ· οἱ δὲ γόνος ἀφθίτου· οἱ δὲ μνησίθεος· ῥωμαῖοι, καππανορωνία· ἄφροι, ναρότ· καυλία ἀφίησι, τρυφερά· ὑπόλεπτα· φύλλα δὲ μαράθρῳ ὅμοια· ἄνθη μήλινα ἢ καὶ ἴρινα· μείζονα τῆς ἀνθεμίδος· ὀφθαλμοειδῆ· ὅθεν καὶ οὕτως ὠνόμασται· φύεται ἐν πεδίοις καὶ περὶ τὰς πόλεις· ταύτης τὰ ἄνθη λεῖα σὺν κηρωτῇ, οἰδήματα καὶ σκληρίας

διαχεῖ· φασὶ δὲ ὅτι καὶ ἐκ βαλανείου μετὰ τὸ ἐξελθεῖν δι' αὐτῆς
μακρᾶς πινόμενον εὔχροιαν ποιεῖ πρὸς χρόνον τινὰ·
τοῖς ἰκτεριῶσιν· Γαληνός· βούφθαλμον, ἔοικε μὲν
τῷ χαμαιμήλῳ· μείζονα δὲ αὐτοῦ καὶ δριμύτερον, καὶ
διὰ τοῦτο διαφορητικώτερον· ἰᾶται δὲ καὶ σκληρίας,
μιγνύμενα κηρωτῇ τὰ ἄνθη· —

περὶ βουγλώσσου·

βούγλωσσον· οἱ δέ, ὀνόθουρις· προφῆται γόνος αἰλο-
ρου· ὁ Ἀθηναῖος, σανουτὶχ· Αἰγύπτιοι, αὐτουέν ρινβα-
σωρ· οἱ δὲ ἀλιβουήν· Ἄφροι, ἀλσουμάλφ· Δάκοι,
βουδάθλα· Ῥωμαῖοι, λιγούλας βοβοῦμ· οἱ δὲ λικά-
νη· φύλλα μὲν ἔχει, ς'· ἢ η'· μήκους, σπιθαμιαῖα ὡς δὲ
νεόφριας θρίδακος· πλάτος δακτύλων δύο· ἢ ἄλλα-
τιον· ἢ πλεῖον χαμαιπετῆ καὶ πρὸς γῆν ἀνεστραμμένα· τραχέα
πονύ· ἀκανθώδη· μελανώτερα· ὁμοιάζει, βοὸς
γλώσσῃ· καυλὸν δὲ φύει, σπιθαμιαῖον· ἄσπρον· τρα-
χύν· ἀκανθώδη· ἐν ᾧ ἄνθη, ὥσπερ ἀγρίας μαλάχης·
ἢ καὶ μικρότερα· πορφυρᾶ πρὸς τὸ ἀλουργὸν χρῶμα·
οἷς χρῶνται εἰς αὐτὸ δὲ τοῖς· τὸ γὰρ βούγλωσσον καθι-
έμενον εἰς οἶνον, εὐφροσύνου δοκεῖ εἶναι· — Γαληνός·
βούγλωσσον, ὑγρὸν καὶ θερμόν ἐστι· τὴν κρᾶσιν· ἁρμόζει
δέ, τοῖς διὰ τραχύτητα φάρυγγος βήττουσι· μελικρά-
τῳ ἀφεψόμενον· —

περὶ βλίτου·

βλίτον· Αἰγύπτιοι, ἐχλωτορίπλαμι· οἱ δέ, ῥίπλαμ·
Ῥωμαῖοι, βλίτουμ· Δάκοι, βλι · λαχανεύεται· καὶ
τοῦτο δέ ἐστιν εὐκοίλιον· μηδὲ μίαν ἔχον φαρμακώ-
δη δύναμιν· —

περὶ βολβοῦ·

βολβὸς ἐδώδιμος εὐστόμαχος ὁ πυρρὸς ἀπὸ Λιβύης κομιζό-
μενος· ὁ δὲ πικρὸς καὶ σκιλλώδης, εὐστομαχώτερος·

πάντες διουρητικοὶ καὶ θερμαντικοί· σίνωσιν παρορ-
μῶντες· τραχύνουσι τὴν γλῶτταν καὶ παρίσθμια·
πολύτροφοι· σπερμῶν γεννητικοί· πνευματώδεις.
ποιοῦσι καταπλασσόμενοι, πρὸς πτέρματα· καὶ
σκόλοπας· καὶ ἀρθρίτιδας· καὶ γαγγραίνας σὺν μέ-
λιτι· καὶ καθ᾽ ἑαυτούς· καὶ τὰ ἐπὶ τῶν ὑδρωπικῶν οἰδή-
ματα· καὶ κυνόδηκτα· ὁμοίως καὶ σὺν μέλιτι· ἀπάγχου-
σι καὶ ἱδρῶτας σὺν πίσσῃ ἐλαίου καταπλασθέντες· καὶ
στομάχου ὀδύνας· καὶ πίτυρα· καὶ ψώρας ἀποσμῶσι σὺν
ὀπτῷ νίτρῳ· καθαίρουσι δὲ καὶ ὑπώπια· καὶ ἰόνθους
καθ᾽ ἑαυτούς· ἢ σὺν ὠοῦ λεκύθῳ· καὶ φακοὺς τοὺς
ἐν προσώπῳ σὺν μέλιτι· ἢ ὄξει· ῥίζα ὁμοία κρο-
μμύῳ μικρῷ· χρῶμα ξανθοῦ τὴν ἐπιφάνειαν· φύλλα,
μακρά· ὅμοια πράσου· πρὸς τὴν ἐπικλινῆ· καυλὸν
ἀνίησι, παρόμοιον κρομμύου χωρὶς τῆς κεφαλῆς
αὐτοῦ· ἡ δὲ κορυφὴ τοῦ κρομμύου ὑπόκειρον ἐν ᾗ καὶ
τὸ σπέρμα, στρογγύλη ὡς θαλάσσιος ἐχῖνος· χα-
κή· τοῦ βολβοῦ διασυρομένου τοῦ καυλοῦ κατάξηρον μάρου
τὸ σπέρμα ἀνίησι μέχρι τοῦ ἄκρου, ἐοικὸς καὶ μό-
κος καὶ χρῶμα κεφαλῇ ἡ σὺν ἐμαίνης :—

περὶ βετονίκης·

Βετονίκη· Φράγγοι, μπετονίκα· οἱ δὲ κέστρον· οἱ πο-
λλοὶ τῶν ἀνθρώπων ἀνθρακοβότανον· φύλλα δὲ
ἔχουσι φύλλα, ὅμοια λαπάθου ἀγρίου· ἢ μείονα·
ἢ μᾶλλον ἢ δρυὸς ὀσμὴν ἢ μάρου· τραχέα δὲ καὶ στύφον-
τα τοῖς γεύμασι· καυλὸν ἀνίησιν, οὐ μέγα· ἄνθη ἐπ᾽
ἄκρων· πορφυρᾶ· μικρά· ῥίζαν λεπτὴν καὶ
βραχεῖαν· χυλίζεται δὲ αὐτῆς τὰ φύλλα ἐν
ἡλίῳ· ἢ καὶ περισυστρέφεται· δύναμιν δὲ ἔχει,
στυπτικὴν καὶ ξηραντικήν· ἰδίως δὲ ἁρμόζουσιν,

πρὸς τὰς ἐν στόματι καὶ περιαθμίοις νομάς· ποιεῖ δὲ καὶ πρὸς τὰ ἄλλα ἑλκη, ὅσα στύψεως χρήζει· ποιεῖ δὲ πόδαγρα σὺν ὀξυκράτῳ ληφθέν, ποιεῖ πρὸς ἄνθρακας.—

περὶ βηχίου

βήχιον· οἱ δὲ βήχιον· οἱ δὲ πετρίνη· οἱ δὲ παγενοῦ· οἱ δὲ πήθιον· οἱ δὲ πανόνατον· οἱ δὲ χαμαιλεύκην· οἱ δὲ πρόχυτον· οἱ δὲ ἀρκτόφυλλον· οἱ δὲ χαμαίστερον· αἰγύπτιοι σαρθρα· ῥωμαῖοι τουσιλάγω· οἱ δὲ φαρφάριαμ· οἱ δὲ πουσουλάγω· βησσοί, ἄσα· φύλλα ἔχει ὅμοια κισσῷ· ἢ ὅμοια μικρῷ δρακοντίᾳ· ἡ μὲν γὰρ δρακοντία, τρίγωνον ἔχει τὸ φύλλον· τὸ δὲ βήχιον ὀκτάγωνον· μείζονα δέ· ς ἢ ζ ἀπὸ τῆς ῥίζας μακρότουλα ὡς ἡ δρακοντία·
ζ ἔστι μὲν τῶν πρὸς ἄνω, λευκά· ἐστὶ δὲ τῶν πρὸς τὰ κάτω, χλωρά· γωνίας, πλείους ἔχοντα τριγώνοις· καυλοὺς σπιθαμιαίους· ἄνθος ὠχρὸν κατὰ τὸ ἔαρ· ὃ ἐξανθοῦν ἀποβάλλει τό τε ἄνθος καὶ τὸ καυλίον· ὅθεν τινὲς ὑπέλαβον, ἄκαυλον καὶ ἄνανθον ὑπάρχειν τὴν πόαν· ῥίζα λεπτή· φύεται περὶ λιβάδας καὶ ἐνύγροις τόποις· ταύτης τὰ φύλλα σὺν μέλιτι καταπλασσόμενα, ἐρυσιπέλατα καὶ πᾶσαν φλεγμονὴν ἰᾶται· ὑποθυμιώμενα δὲ ξηρὰ τοὺς ὑπὸ ξηρᾶς βηχὸς καὶ ὀρθοπνοίας ὀχλουμένους, θεραπεύει, ὅταν οἱ χάσκοντες τὸν καπνὸν σπῶσι διὰ τοῦ στόματος καὶ καταπίωσι, ῥήσσει δὲ καὶ τὰ ἐν θώραξι ἀποστήματα· τὸ δὲ αὐτὸ ποιεῖ καὶ ἡ ῥίζα, ὑποθυμιωμένη· ἔμβρυον τεθνηκὸς ἐκβάλλει, σὺν ὑδρομέλιτι ἀφεψηθὲν πινομένη.— Γαληνός·

βήχιον ὠνόμασται μὲν, ἀπὸ τοῦ τὰς πεπαθηκότας βῆχας θεραπεύειν· ἔστι τὰ φύλλα ξηρὰ λαβὼν· ἢ τὴν ῥίζαν ἀνθρακώσας θυμιάσεις δὲ τινὰ οἷς ἀναφερομένων τῶν τοῦ γενῶν· ἔστι δὲ δριμέα συμμέτρως καὶ ῥήσσει ἀλύπως πα

πέσσοντας, τὰ καὶ τὰ τοῦ θώρακος ἀποστήματα· τὰ μέν-
τοι χλωρὰ φύλλα, καὶ τὰς δυσιάτους φλεγμονὰς ὀ-
νίνησιν, ἔξωθεν καταπλασσόμενα· τὰ δὲ ξηρὰ φύλλα
ὡς δὲ ἠρυνταί μοι ἄνωθεν ἢ τὴν ῥίζαν καθὼς εἶπον βοη-
τοῦσι καὶ ὀρθοπνοϊκοῖς ὠφελεῖ:~

περὶ βατραχίου·

Βατράχιον· οἱ δὲ χρυσάνθεμον· οἱ δὲ ἄγριον σέλινον·
φύλλα ἔχει ὅμοια σελίνῳ· μείζονα δέ· ἄνθος χρυσίζον·
ὅλη δὲ ἡ πόα, οὐ μείζων γίνεται τοῦ παλαιστοῦ· ποιεῖ
δὲ τὰ φύλλα· ἄσαρκα θερμὰς καταπλαττόμενα ἀπύο-
ποιεῖ γὰρ αὐτοὺς καὶ δέρει· ἀλγεῖ καὶ τὴν κνησμώδη ἔχον-
τα καὶ ἀρθριτικόν· ὅθεν καὶ ὄνυχας λεπροὺς καὶ ἀλφοὺς
καὶ ψώρας ἀφίστησι καὶ στίγματα ἐξαίρει καὶ μυρμηκίας καὶ ἀκρο-
χορδόνας καὶ ἀλωπεκίας πρὸς ὀλίγον καταπλασσόμενα·
ἀφεψηθέντα τε καὶ τοῦ ὕδατος χλιαροῦ, πρὸς χίμετλα
καταντλούμενον· ἡ δὲ ῥίζα ξηρὰ λεία πταρμοὺς κινεῖ
προσφερομένη τοῖς μυκτῆρσι· καὶ ὀδονταλγίας καὶ
ῥίζαν προσαπτομένη:~

περὶ βρυωνίας

Βρυωνία λευκή· οἱ δὲ μάδον· οἱ δὲ ἄμπελος λευκή· οἱ δὲ
ψίλωθρον· οἱ δὲ μηλόθρον· οἱ δὲ ὀφιοστάφυλον· οἱ
δὲ ἀρχεζῶστιν· οἱ δὲ λιβυστικήν· οἱ δὲ κέδρωσιν· αἰγύπτιοι
χαλάσιμον· ῥωμαῖοι, νοτιάμ· οἱ δὲ κερβαυκολαρία·
οἱ δὲ κουκουρβιτακερρατίκα· δάκοι, κινοβοῦλα· σύ-
ροι, ἀλβιδαρία· ταύτης τὰ κλήματα καὶ τὰ φύλλα
καὶ οἱ ἕλικες, ὅμοια τῇ ἡμέρῳ ἀμπέλῳ· δασύτερα δὲ
πάντα· καὶ ἐμπλέκεται τοῖς παρακειμένοις θάμνοις
ἐμβαλλομένη ταῖς ἕλιξι· καρπὸν δὲ ἔχει βοτρυώδη· ὠ-
χλοῦντα τὰ δέρματα· ταύτης δὲ ἀπάγρια τοι κατὰ τὴν
πρώτην ἐκβλάστησιν, ἑφθοὶ ἐσθίονται· οὐρητικοὶ καὶ

κοιλι κρίνουσι· Δύναμιν δὲ ἔχει τὰ φύλλα
καὶ οἱ καυλοὶ καὶ ἡ ῥίζα δριμεῖαν· ὅθεν ἐπὶ τῶν χρονίων
καὶ γαγγραινικῶν καὶ φαγεδαινικῶν καὶ σαπρονομῶν
ἑλκῶν μετὰ ἁλὸς καταπλασσόμενα, ποιεῖ· φύλλα
ὅμοια κλήματος· ἡ ῥίζα ὁμοία σαύκω· καὶ τρίνω κου
τὸ στιβαρὸν πενταπλασίω· βοτρυώδης κατὰ κισσοῦ· ἡ
δὲ ῥίζα, ῥύπτει χρῶτα καὶ τετανοῖ· καὶ ἐφήλεις ἀποκαθαί-
ρει· ἰόνθους· φακούς· οὐλὰς μελαίνας, σὺν ὀρόβῳ
καὶ τήλει· καθεψηθεῖσα δὲ μετ᾽ ἐλαίου μέχρις οὗ
τακερωθῇ πρὸς ταῦτα ἁρμόζει· ἀπὸ πυρὸς δὲ καὶ πτε-
ρύγια τὰ ἐν δακτύλοις στέλλει, σὺν οἴνῳ καταπλασσομένη·
διαφορεῖ δὲ καὶ φλεγμονάς· καὶ ῥήγνυσι ἀποστήματα·
ὀστᾶ καὶ ὀστράκια καταπλασσομένη· σὺν πᾶσι τε μέσ γίνον-
ται· πίνεται δὲ καὶ πρὸς ἐπιληψίας, ὁλκῆς καθ᾽ ἡ-
μέραν πρὸς ἐνιαυτοῦ· ὠφελεῖ καὶ ἀποπληκτικούς· καὶ σκο-
τοματικούς ὁμοίως, λαμβανομένη· δυοῖν δὲ δραχμῶν ὁλ-
κὴ ποθεῖσα, ἐχιοδήκτοις βοηθεῖ· καὶ ἔμβρυα φθείρει·
ὑποταρὰ ἐλαιοῦ ἐνίοτε τὴν διάνοιαν· καὶ προστιθεῖσα
ἔμβρυα καὶ δεύτερα ἀπάγει· καὶ νεκρὰ καὶ οὖρα κινεῖ·
καὶ ἔκλειγμα δὲ ἀπ᾽ αὐτῆς μετὰ μέλιτος, τοῖς πνιγομένοις·
καὶ δύσπνοοις καὶ βήττουσι· πλευρὰν τε ἀλγοῦσι· ῥήγ-
μασι· σπάσμασι δὲ τοῖς· καὶ σπλῆνα τήκει τριοβόλου ὁλ-
κὴ ποθεῖσα ἑξῆς, ἐν ἡμέρας λ'· ὁ δὲ καρπὸς ποιεῖ πρὸς
ψώρας, καὶ λέπρας σὺν χριόμενος καὶ καταπλαττόμενος·
σὺν δὲ γλυκεῖ οἴνῳ πινόμενος, σύλληψιν ταῖς γυναιξὶν ποιεῖ:—

περὶ βαλλαρίδος·

Βάλλαρις· οἱ δὲ, ἱρώνη· οἱ δὲ γνωμονοσιλλοῦ·
ρωμαῖοι, γνωμουτζίλουμ· φύεται ἐπὶ λίθων καὶ ὀστρά-
κων παρὰ θάλασσαν· θρισάκωδες· ἰσχνόν· ἄκαυλον·
ἱκανῶς στυπτικόν· ποιοῦν πρὸς φλεγμονὰς καὶ ποδάγρας·

τὰς εὐτόκως σιομένας :~

περὶ βρόμου·

βρόμος· οἱ δὲ σιφώνιον· οἱ δὲ αὔκροσπυλος· ῥωμαῖοι, ἀβηνάμ· ἄφροι, γυμμάθ· πόα ἐστὶ αἰγίλωπι ἐμφερὴς δύναμιν ἔχουσα ἀποξηραντικήν· ἀφεψηθεῖσα δὲ σὺν ῥίζαις μεθ᾽ ὕδατος ἕως τοῦ τρίτου, εἶθ᾽ οἱ τὸ ἀπόζεμα καὶ διυλίσας αὐτό, ἐπίμιξον μέλιτος τοσοῦτον· καὶ ἕψει μέχρις ἂν γένηται, πάχος ἔχον ὑγροῦ μέλιτος· καὶ ποιεῖ ἐπὶ τῶν ὀζαινικῶν· βρέχων ὀθόνιον καὶ προστιθεὶς τοῖς μυκτῆρσι· καὶ καθ᾽ αὑτὸ μέντοι, ποιεῖ οὕτως· τινὲς δὲ καὶ ἀλόην λεάναντες παρεμμίσγουσι καὶ οὕτως χρῶνται· ποιεῖ καὶ μετὰ ῥόδων ξηρῶν ἀφεψηθεὶς οἴνῳ πρὸς τὰς τοῦ στόματος δυσωδίας :~

περὶ βρυωνίας μελαίνης·

βρυωνία μέλαινα· οἱ δὲ ἄμπελος μέλαινα· οἱ δὲ χάρωμα· οἱ δὲ βουκράνιον· ῥωμαῖοι, ἀβεμωνία· οἱ δὲ βατανοῦτα· οἱ δὲ βιτισέλβα· δάκοι, πριαστήλα· οἱ δὲ πετρίνα· ἄφροι, λαουώβα· φύλλα καὶ αὐτὴ ὅμοια μᾶλλον δὲ πρὸς τὰ τῆς σμίλακος· γωνιώδη· ἁπαλώτερα μείζονα δέ· ἀλλὰ οἱ καυλοί· πάντων ἐνλαμβάνεται καὶ αὕτη τῶν φυτῶν ταῖς ἕλιξιν, ὡς ἡ πρὸ αὐτῆς λευκή· καρπὸς βοτρυώδης· κατ᾽ ἀρχὰς μὲν χλωρός· ὥσπερ τῆς λευκῆς· πεπανθεὶς δὲ μέλας· ῥίζα δὲ μέλαινα ἔξωθεν· ἔνδοθεν δὲ πυξοειδὴς ὠχρά· καὶ ταύτης οἱ καυλοὶ κατὰ τὴν πρώτην ἐκβλάστησιν, λαχανεύονται· εἰσὶ δὲ διουρητικοί· ἐπιληπτικοῖς τε καὶ παραλυτικοῖς ἁρμόζει· ἡ δὲ ῥίζα τὴν δύναμιν ὁμοίαν τῇ πρὸ αὐτῆς κέκτηται, πρὸς τὰ αὐτὰ ἁρμόζουσα· ἧσσον μέντοι· ποιεῖ δὲ καὶ περὶ τοὺς τῶν ὑποζυγίων λόφους, ἐπιτεθεῖσα καὶ καταπλασθεῖσα· τὰ δὲ φύλλα σὺν οἴνῳ καταπλασσόμενα, πρὸς τραύματα ὁμοίως ἐπιτίθεται :~

περὶ βάτου·

βάτος· οἱ δὲ, κυνόσβατος· οἱ δὲ σελινοφόρτιον· οἱ δὲ ὀξύτροφον· προφῆται, αἷμα τιτάνου· οἱ δὲ αἷμα ἴβεως· ῥωμαῖοι, σέντιξ· οἱ δὲ ρουβουμ· οἱ δὲ μοραβατικαῖνα· δάκοι μαντεία· αἰγύπτιοι, αἷμιος· οἱ δὲ, αἵμητρος· βάτος γνώριμος· στύφει· ξηραίνει· τρίχας βάπτει· τὸ δὲ ἀφέψημα αὐτῆς τῶν ἀκρεμόνων· κοιλίαν δὲ ἵστησι ποτιζόμενον· καὶ ῥοῦν ἐπέχει γυναικεῖον· καὶ πρηστῆρος δήγματι ἁρμόζει· κραταιοῖ δὲ καὶ οὖλα καὶ ἄφθας θεραπεύει, διαμασωμένων τῶν φύλλων· καὶ ἕρπητας ἐπέχει· καὶ ἀχῶρας τοὺς ἐν κεφαλῇ θεραπεύει· καὶ ὀφθαλμῶν προπτώσεις· καὶ κονδυλώματα· καὶ αἱμορροΐδας καταπλασσόμενα τὰ φύλλα· λεῖα δὲ ἐπὶ στομαχικοῖς καὶ καρδιακοῖς λεῖα ἐπιτιθέμενα ἁρμόζει· ὁ δὲ χυλὸς αὐτῶν ἐκθλιβέντων τῶν καυλῶν καὶ τῶν φύλλων συστραφεὶς ἐν ἡλίῳ, βέλτιον ποιεῖ πάντων· τοῦ δὲ καρποῦ αὐτῆς ὁ χυλὸς πεπυρωμένου ἕως ἤπια, εἰς τὰ στοματικὰ ἁρμόζει· ἵστησι δὲ κοιλίαν· ὁ μὲν οὖν ἕως πέπειρος ἐσθιόμενος· τὸ ἄνθος δὲ αὐτῆς ποθὲν ἐν οἴνῳ, κοιλίαν ἵστησιν:- Γαληνοῦ· βάτου τό τε ἄνθος καὶ ὁ καρπὸς καὶ ἡ ῥίζα, στυπτικῆς μετέχουσι ποιότητος· ἧττον δὲ τὰ φύλλα καὶ οἱ βλαστοὶ καὶ μάλιστα τὰ ἁπαλά· πλείστου τοῦ ὑδατώδους μετέχοντας· ὥστε καὶ διαμασώμενοι, ἄφθας τε καὶ τὰ ἄλλα τὰ ἐν στόματι θεραπεύειν ἕλκη· καὶ τὰ ἄλλα τραύματα συγκολλᾶν· ὁ μέντοι καρπὸς ὁ πέπειρος, μετέχει καὶ τοῦ συμμέτρως θερμοῦ χυμοῦ, καὶ μετρίως στύφου· ξηρανθεὶς δὲ, ξηραντικώτερος ὢν τοῦ προσφάτου· ἴσχει γοῦν ἔντερα καὶ ῥεύματα γαστρὸς κατὰ τόνου· καὶ εἰς τὰς τοῦ αἵματος πτύσεις, ἐπιτήδειον ὡς φάρμακον· ἡ δὲ ῥίζα πρὸς τὸ στύφειν, ἔτι καὶ λεπτομεροῦς οὐσ

μετὰ χολῆς· καὶ τοὺς ἐν νεφροῖς διαθρύπτει λίθους:-

περὶ βράθυος·

Βράθυ· οἱ δὲ βάρυτον· οἱ δὲ καὶ πάριανος· οἱ δὲ χαμαικυ-
πάριανος· οἱ δὲ μυρίκη· Ῥωμαῖοι, ἕρβα σαβίνα· δι-
πλοῦν· τὸ μέν, κόμην ἔχει ὡς μυρίκη· τὸ δὲ ὡς κυπαρ-
ίσσου· βοστρυχωδέστερον δὲ ἐστὶν τοῖς φύλλοις· καὶ ἀκα-
νθωδέστερον· δριμύ· πυρωτικόν· διὸ περιχρισθέντα τὰ
νεμόμενα σὺν οἴνῳ ποθέν· ἢ ἐπιτεθέν· ὑποθυμια-
θὲν δέ, ἔμβρυα καταπίπτει· καὶ διὰ οὔρων αἷμα ἄγει· τὸ
δὲ βράθυ, ὠφελεῖ καὶ πρὸς βρόγχους· καὶ ὠτίοις καὶ σπ-
πάσεις καὶ ὕδρωπα καὶ ἰσχιάδα:-

ΑΡΧΗ ΤΟΥ ΓΑΜΜΑ

περὶ γερανίου

Γεράνιον· οἱ δέ, ὀξύφυλλον· οἱ δὲ μάτρυξ· οἱ δέ, μυρ-
ρίς· οἱ δέ, καρσαίμωμον· οἱ δὲ ὀρύγανον· προφῆται σία
εβρύτας· Ῥωμαῖοι, πουλμωνία· οἱ δέ, κικοτρία·
οἱ δέ, γρουΐνα· Ἄφροι, ἰατικ·
Γεράνιον ἕτερον· οἱ δὲ πελονίτης· οἱ δὲ ἱέρακα· οἱ δὲ γερα-
νογέρων· Ῥωμαῖοι, σαχινάστρουμ· Ἄφροι, ἰασκ· τὸ μὲν
φύλλον ἔχει, ὅμοιον ἀνεμώνῃ· ἐσχισμένον, μακρότερον·
ῥίζαν δὲ ὑποστρόγγυλον· γλυκεῖαν· ἐσθιομένην· ἧς
ποθὲν ἐν οἴνῳ ὀβολὰ α'· πάθος ὑστερῶν· πνευματώσεις
λύει· Καλεῖται δὲ καὶ ὑπηνίων ἕτερον γε[illegible]ιον· ἔχον
καυλίσκους λεπτούς· χνοώδη· διασπιθαμιαίους· φύλλα μαλάχης-
ἐμφερῆ· καὶ ἐπ' ἄκρων τῶν μασχαλῶν, ἀποχάς τινας ἀνα-
νενευκυίας, ὡς γεράνων κεφαλάς· σὺν ῥύγχεσιν ἢ κυνῶν ὀδοῦσι·
χρῆσις δὲ αὐτοῦ ἐν ἰατρικῇ, οὐδεμία:-

περὶ γλαυκίτου·

Γλαυκίτης, φακῷ τὰ φύλλα ἔοικε· τὰ ἄρθρα κάτω κλινά·

δὲ ἄνωθεν δὲ ὑπόχλωρα· κλωνία ἐπὶ τῆς γῆς ἐκτείνουσιν, ἀπὸ ς̄·
χαμαὶ σπιθαμιαῖα ἀπὸ τῆς ῥίζης· ἄνθη λευκοΐοις
ὅμοια· μικρὰ πορφυρᾶ· φύεται παρὰ θάλασσαν· αὐ
τη μετὰ ἀλεύρου κριθίνου καὶ ἁλὸς καὶ ἐλαίου ῥοφηθεῖ
σα, γάλα σβεννύμενον ἀνακαλεῖται· ἢ καταπλασθεῖ
σα τῶν μαστῶν :~

περὶ γλήχωνος·

Γλήχων· οἱ δὲ βλήχων· οἱ δὲ ἀρσενικὸν ἄνθος· ῥωμαῖοι,
πουλέϊουμ· ἄφροι, ἀπουλέϊουμ· γάλλοι, ἀλβόλου·
οἱ δὲ γαλλὶς ὄψις· οἱ δὲ πολλοὶ τῶν αἰώνων βλισκούνη· πᾶ
γνώριμος· θερμαντική· πεπτική· ποθεῖσα δὲ, ἔμ
μηνα καὶ δεύτερα καὶ ἔμβρυα ἄγει· καὶ τὰ ἐκ πνεύμο
νος μετὰ ἁλὸς καὶ μέλιτος ποθεῖσα· καὶ σπωμένοις βο
ηθεῖ· ναυτίας τε καὶ δηγμοὺς στομάχου μετ' ὀξυκράτου
ποθεῖσα, παραμυθεῖται· ἄγει τὰ κατὰ κοιλίαν μέλα
να· βοηθεῖ καὶ θηριοδήκτοις, μετ' οἴνου πινομένη·
λιποθυμοῦντας τε ἀνακτᾶται, μετ' ὄξους ταῖς
ῥισὶ προσαγομένη· κρατύνει καὶ οὖλα, ξηρὰ λεία κα
ταπλασσομένη· κεκαυμένη· ἀποπλασθεῖσα δὲ πρὰ
ὅτι πρὸς φλεγμονὴν σὺν ἀλφίτῳ· καθ' αὑτὴν δέ, πο
δαγρικοῖς ἁρμόζει, ἄχρι φοινίξεως τῆς ἐπιφανείας·
σὺν κηρωτῇ δὲ, ἴονθους σβέννυσι· ὠφελεῖ δὲ καὶ σ
πληνικοὺς μετὰ ἁλὸς καταπλασσομένη, τὸ δὲ ἀφέψη
μα αὐτῆς, κνησμοὺς λουομένων παύει· καὶ εἰς ἐγκα
θίσματα πρὸς ἐμπνευματώσεις καὶ σκληρίας καὶ ἀπο
στροφὰς ὑστέρας ἁρμόζει· καλοῦσι δέ τινες αὐτὴν βλή
χρον, ἐπεὶ δὲ τινὶ ἀνθοῦσιν τὰ γευόμενα τῶν ποιμνίων,
βληχᾶν ὑποπίμπλανται :~

περὶ γιγγιδίου·

Γιγγίδιον· οἱ δὲ λαπίδιον· ῥωμαῖοι, βιζακουτοῦμ·
αἰγύπτιοι, δωρισάστρου· σύροι, δαυκρίου· ἄφροι,

τὸ ἐστι ταύτα· φύεται μὲν πλεῖστον ἐν κιλικίᾳ καὶ συρίᾳ·
βοτάνιον σταφυλίνῳ ἐοικὸς ἀγρίῳ· λεπτότερον δὲ καὶ
πυκνότερον· ἄνανθον· ῥίζιον ὑπόλευκον· τοῖς κρά
ζων· λαχανεύεται δὲ καὶ ὠμόν· καὶ ταριχευθὲν ἀποθέ
μενον, ἔστι δὲ εὐστόμαχον καὶ οὐρητικόν.—

περὶ γογγύλης·

Γογγύλη· οἱ δὲ γογγυλίδα· οἱ δὲ βουνιάδα· οἱ δὲ γορ
σόσιον· ῥωμαῖοι, ῥάπα· ταύτης ἡ ῥίζα τρόφιμος·
πνευματική· σαρκὸς πλαδαρᾶς γεννητική· ἀφρο
δισίων παρορμητική· τὸ δὲ ἀφέψημα αὐτῆς ποδά
γρας καὶ χιμέθλας ἐστὶ κατάντλημα· αὐτὴ πρὸς
τὰ αὐτὰ καταπλασσομένη ὠφελεῖ· ἐὰν δέ τις γλύψας τὴν
ῥίζαν ἐν αὐτῇ ῥόδινον ἐπὶ θερμῷ σποδιᾷ τήξας, ποι
εῖ πρὸς τὰς ἡλκωμένας χιμέθλας· ὁ δὲ ἐξ αὐτῆς ἀσπά
ραγος, βιβρωσκόμενος ἑφθὸς· ἐστι δὲ οὐρητικός·
τὸ δὲ σπέρμα εἰς ἀντιδότους εὔθετον· καὶ θηριακαῖς
ἀνωδύνοις· βοηθεῖ δὲ καὶ τοῖς θανασίμοις πάθεσι· πα
ρορμᾷ καὶ πρὸς ἀφροδίσια· ἁλμευθεῖσα δέ, ἀτροφο
τέρα γίνεται βιβρωσκομένη· τὰς μέντοι ὀρέξεις, ἀ
ναλαμβάνει.—

περὶ γλυκυρρίζου·

Γλυκύρριζον· οἱ δὲ ποντική· οἱ δὲ γλυκύρρατον· οἱ δὲ γλυ
κύφυτον· οἱ δὲ σκύθιον· οἱ δὲ ἄδιψον· οἱ δὲ σύμ
φυτον· οἱ δὲ λαοντίδα· οἱ δὲ σίσχυθρα· οἱ δὲ λίβυ
κτασο· οἱ δὲ ὠμοϊνομοίως· οἱ δὲ πικένθα· οἱ δέ, σι
λιθαώ· ῥωμαῖοι, δουλκὶς ῥαδίξ· γεννᾶται πλείστη
ἐν καππαδοκίᾳ καὶ πόντῳ· ἔστι δὲ θάμνος, ῥά
βδους ἔχων διπήχεις· παρ' οἷς τὰ φύλλα πυκνὰ ἐοι
κότα σχίνῳ· ἢ φακῷ· ἢ ἐρεβίνθῳ· λιπαρὰ καὶ κολλώ
δη ἁπτομένοις· τὸ δὲ ἄνθος ὑακίνθῳ ὅμοιον· καρπὸς
δὲ μέγεθος πλατάνου σφαιρίων· τραχύτερος· λοβοὺς

ἔχων, ὡς φακοῦ· πυρούς· ῥίζας μακράς· πυξο-
ειδεῖς· ὡς ἡ γεντιανῆς· ὑπόστρυφνοι γλυκεῖαι· χυ-
λιζόμεναι ὡς τὸ λύκιον· ποιεῖ δὲ τὸ χύλισμα, πρὸς
τραχύτητας ἀρτηρίας· δεῖ δὲ ὑποτιθέντας τῇ γλώττῃ τήκειν
ὑποχυλίζειν· ἁρμόζει δὲ καὶ πρὸς καύσους στομάχου· καὶ
πρὸς τὰ ἐν θώρακι καὶ ἡπατικούς· ψωρίας τε τὰς ἐν
κύστει καὶ νεφρίτιδος πινόμενον· καὶ στοματικοῦ διαμα-
σώμενον· καὶ τὸ ἀφέψημα δὲ αὐτῶν τῶν ῥιζῶν πρόσ-
φατων, πρὸς τοιαῦτα ἁρμόζει· ἡ δὲ ῥίζα ξηρὰ ἐφ-
λεῖα, πτερυγίοις καταπλασος ἐπιτίθεται:~

περὶ γλαυκίου·

Γλαυκίου, χυλὸς ἐστὶ βοτάνης κατὰ ἱεράν πόλιν τῆς
συρίας γινόμενος· ἔοικε δὲ αὐτῆς τὰ φύλλα, τοῖς
τῆς κερατίτιδος μήκωνος· λιπαρώτερα δὲ καὶ χα-
μαίζηλα· βαρύοσμα καὶ πικρότερα ἐν τῇ γεύσει· καυ-
λὸν δὲ ἀνίησι λεῖον δισπίθαμον· ἄνθος οὐκ ἔχουσα· φυ-
λλάρια δὲ μόνον ἐπὶ κορυφῆς· ῥίζα μακρὰ πολύκλωνος·
λεπτή· κροκίζουσα· καὶ ὁ χυλὸς αὐτῆς, ὅμοιος κροκίζων·
ταύτης τὰ φύλλα λαβόντες οἱ ἐπιχώριοι, εἰς χύτραν
θερμαίνουσιν ἐν κλιβάνῳ ἡμιτυγεῖς ἄχρι μαρασμοῦ·
εἶτα ἐκθλίβοντες, ἐκλαμβάνουσι τοῦ χυλοῦ· πρὸς
τὰ ὀφθαλμικὰ ἐν ἀρχῇ· ψυκτικὸν ὄντα:~

περὶ γαλλάσου·

Γάλλασον· οἱ δὲ, γαλλασέον· οἱ δὲ, γαλάτιον καλοῦσιν,
ἀπὸ τοῦ γάλα πηγνύειν· αὐτὸ τὸ κλωνίον καὶ τὰ φύλλα
ἔχει, ἐμφερῆ ἐστὶ τῇ ἀπαρίνῃ· ἢ λιθρίδι· ὀρθοῦ δὲ καὶ
ἐπ' ἄκρου ἄνθος μικρὸν μήλινον· ἢ καὶ κρίνον· λεπτὸν
πολύ· εὔοσμον· οὗτος ὁ ἄνθος, πρὸς τὰ πυρίκαυστα
καταπλάσσεται· αἱμορραγίας ἵστησι· μίγνυται δὲ
καὶ κηρωτῇ ἐν ἡλίῳ χλιαζόμενον ἄχρις οὗ λευκανθῇ·

καὶ ἔστι τὸ τοιοῦτον ἀκόπου· ἡ δὲ ῥίζα, πρὸς σπασμοὺς
ὁρμᾷ, πινόμενος ὁ χυλὸς αὐτῆς. φύεται ἐν ἀλω-
δεσι τόποις :~ περὶ γαλλαιοψίδος·

Γαλλαιοψίς· οἱ δέ, γαλλιόβολον· οἱ δὲ γάλλας φος·
αἰγύπτιοι, αἰθώπη· ῥωμαῖοι, οὐρτικα σαλβω-
νέμ. ὅλον τὸ θαμνίον σὺν τῷ καυλῷ καὶ τοῖς φύλλοις,
ἐμφερές ἐστι κνίδῃ· λειότερα δὲ τὰ φύλλα· καὶ ἴχνων
δυσώδη ἐν τῇ διατρίψει· ἄνθη λεπτὰ πορφυρᾶ·
φύεται ἐν φραγμοῖς καὶ παρὰ τὰς ὁδούς· καὶ οἰκό-
πεδα. δύναμιν ἔχει τὰ φύλλα καὶ ὁ χυλός, δια-
χυτικὴν σκληρωμάτων· χοιράδων· φυγέθλων·
παρωτίδων· δεῖ δὲ δὶς τῆς ἡμέρας μετὰ ὄξους κατα-
πλάττειν, χλιαροποιοῦντας τὸ κατάπλασμα·
καὶ τὸ ἀφέψημα δὲ αὐτῶν, καταντλεῖται ὠφελίμως·
ποιεῖ καὶ πρὸς νομὰς γαγγραινῶν· καὶ σηπεδόνας
μεθ' ἁλὸς καταπλασσόμενον :~

περὶ γναφαλίου·

Γναφάλιον· οἱ δέ, ἄρνεν· οἱ δὲ ἀμπτάτουτος· οἱ δὲ ὀνά-
ξητον· οἱ δὲ ὀναφαλίς· αἰγύπτιοι, σεμάων· γάλλοι,
γαλασωτέδ· ῥωμαῖοι, καντουκλουμ· ὅμοιτον κον-
λάρις· οἱ δέ, ἀλβίνουμ· τούτου τοῖς φύλλοις τινὲς
ἀντὶ γναφάλλου χρῶνται, λευκοῖς οὖσι καὶ μαλα-
κοῖς· ποιεῖ δὲ σὺν οἴνῳ αὐστηρῷ ποτιζόμενα τὰ
φύλλα πρὸς δυσεντερίαν :~

περὶ γεντιανῆς·

Γεντιανή· οἱ δὲ κενταύρειος ῥίζα· οἱ δὲ ἀλοῦ γαλλικόν·
οἱ δὲ νάρκαν· οἱ δὲ χαρώνιον· δάρδανοι, ἀλθῖτις·
ῥωμαῖοι, γεννασούσω· οἱ δὲ καὶ κεντα· οἱ δὲ κυμινά-
λις· δοκεῖ μὲν ὑπὸ τοῦ πρώτου εὑρῆσθαι γεντίου
τοῦ ἰλλυριῶν βασιλέως· ἀφ' οὗ καὶ τὴν ἐπωνυμίαν

ὑψηλήν· καὶ φύλλα τὰ μὲν πρὸς τὴν ῥίζην καρύα ἢ κα-
ρατέᾳ· ἢ ἀρνογλώσσῳ ὅμοια· ἢ κόστῳ· μᾶλλον δὲ ἐλε-
λισφάκῳ· ἔνδοθεν ὑπέρυθρα πρὸς τὸ ὀξύτερον χρῶ-
μα· ἔξωθεν δὲ τῇ λευκῇ ἀκάνθῃ ὅμοια· τὰ δὲ
ἐν μέσῳ τοῦ καυλοῦ· καὶ μάλιστα τὰ κατὰ τὸ ἄκρον, ἀ-
παχισμένα οἷα πρίονος ὀδόντες· καυλὸς μακρός·
κενὸς· λεῖος· πάχος δακτύλου μεγάλου· τὸ δὲ ὕψος
δίπηχυς· γόνασι διειλημμένος· ἐν διαστήματι τῶν με-
ζόνων περικαμένος τὰ φύλλα· ἄνθος πορφυροῦν· κα-
ρπὸν ἄχυρον ἐν καλύξιν κνηκίνοις ὁμοίοις· πλατὺν· κού-
φον· ἀχυρώδη, πρὸς τὸν τοῦ σφονδυλίου· ῥίζαν μα-
κράν· ὁμοίαν ἀριστολοχίᾳ τῇ μακρᾷ· χρῶμα φοινι-
κοῦν βαθύ· γίνεται δὲ ἐν ὑψηλοτέροις ἀκρωτηρί-
οις καὶ συσκίοις τόποις καὶ ἐνύδροις· δύναμιν δὲ ἔχει ἡ ῥί-
ζα, θερμαντικήν· στυπτικήν· βοηθεῖ δὲ θηριοδή-
κτοις ποτιζομένη· < β' πλῆθος μετὰ πεπέρεως καὶ
πηγάνου καὶ οἴνου· τοῦ δὲ χυλίσματος ὀβολὸν <, καὶ
πρὸς ὀδύνας νεφρῶν· πτώματα· ῥήγματα· σπάσμα-
τα· ἐνθετεῖ καὶ ἡπατικοῖς· στομαχικοῖς πινομένη
μετὰ ὕδατος· ἐμβάλλεται ἐμβρυα ἡ ῥίζα, ὡς κολ-
λύριον πρὸς τὸ θερμόν· ἐστὶ δὲ καὶ τραυματική,
ὡς τὸ λύκιον· ἐπὶ νομῶν τε, ἀγχονία· μάλιστα τὸ
χύλισμα· καὶ ὀφθαλμῶν ἐπίχρισμα φλεγμαι-
νόντων· μίσγεται δὲ εἰς τὰ δριμέα τῶν κολλυρίων τὸ χύ-
λισμα, ἀντὶ γλαυκίου· ἐστὶ δὲ καὶ ἀλφῶν σμηκτι-
κὴ ἡ ῥίζα· χυλίζεται δὲ θλασθεῖσα καὶ βραχεῖσα
ὕδατι, ἐπὶ ἡμέρας α'· ἀποτακεῖσα ἐκ τῶν ὕ-
δατι, ἀχρείους παρέχουσιν αἱ ῥίζαι· καὶ μετὰ τοῦ-
το ... τὸ ὕδωρ, διηθεῖσθαι διὰ ὀθονίου· καὶ ἕψεται,
ἄχρις ἂν γένηται μελιτῶδες τῇ συστάσει· καὶ ἀ-

ποτίζεσθαι, ἐν ὀξυκράτου κυάθῳ α΄ :~ Γαλιωός· Γ ἔστι
ὀνή· ταύτης τῆς πόας ἡ ῥίζα, ξηραινομένη ἐστὶ κατὰ
τὴν δευτέραν τάξιν· ψυχρὰ δέ, κατὰ τὴν πρώτην· καὶ
στρυφνὰ τῇ γεύσει· ποιεῖ δὲ τοῖς κατὰ γαστέρα πάθεσι
τοῖς ῥοώδεσιν, ἱκανῶς ἁρμόττει· ἐστὶ γὰρ πικρά· ῥύ-
πτει τε οὖν καὶ ἀποκαθαίρει· καὶ λεπτύνει· καὶ ἐμφράττει:~

ἈΡΧῊ ΤΟΥ̃ ΔΈΛΤΑ

περὶ δελφινίου

Δελφίνιον· οἱ δὲ διάχυτος· οἱ δὲ διάχλοις· οἱ δὲ παρά-
λυσις· οἱ δὲ κάμμαρος· οἱ δὲ ὑάκινθος· οἱ δὲ δελ-
φινιάς· οἱ δὲ κήριον· οἱ δὲ κηριάδιον· οἱ δὲ σώσανδρον·
οἱ δὲ ἀκρώνιον· ῥωμαῖοι βουκίνους μίνορ· κλῶνας
ἀφίησι διπιθαμιαίους ἢ καὶ μείζονας ἀπὸ μιᾶς ῥίζης·
περὶ οὓς φυλλάρια ἐπεσχισμένα· ἔκλυτα· ἄνθος
δὲ ὅμοιον λευκοΐῳ ἐμπόρφυρον· τούτου τὸ σπέρμα
βοηθεῖ ποθὲν σὺν οἴνῳ, σκορπιοπλήκτοις ὡς οὐδὲν
ἕτερον· φασὶ δὲ καὶ τοὺς σκορπίους παρατεθείσης τῆς
πόας παραλύειν αὐτούς· ἀπράκτους τε καὶ ναρκώδεις
γίνεσθαι:~ περὶ δρακοντίας μεγάλης·

Δρακοντία μεγάλη· οἱ δὲ ἄρον· οἱ δὲ ἴσχρον· οἱ δὲ βίαρον·
οἱ δὲ ἱεράκηνος· οἱ δὲ ἀρκτάγριον· οἱ δὲ κυνπερίς· ῥωμαῖοι
μαυρίαν· οἱ δὲ λουρούμεν· οἱ δὲ σετιγιάλιος· οἱ δὲ σ
ζμαρίαμ· φύεται ἐν συσκίοις καὶ φραγμοῖς· καυλὸν
δὲ ἔχει, λεῖον, ὀρθόν· ὡς δίπηχυαῖον· καὶ παχὺν ὡς
βακτηρίαν· ποικίλον κατὰ χρόαν, ὡς ἐοικέναι δράκον-
τι· καὶ πλεονάζει μᾶλλον ἐν τοῖς διαπορφύροις σπίλοις· φύ-
λλα δὲ ὡς λαπάθου· ἐσχισμένα· ἐντετυλιγμένα
λᾶσι· ὡς βοστρύχους πρὸς τὸν καυλόν τε ἐξάκρου κο-
ρυφῆς· καρπὸν δὲ ποιεῖ ἐπ' ἄκρου τοῦ καυλοῦ, βοτρυο-
ειδῆ· ἀποδοῦν τῷ χρώματι τὸ πρῶτον· ἐν δὲ τῷ πέπον

θῆναι, κροκίζοντα καὶ φοινικοῦν· οὐ χυλίζοντες
καὶ ἐν ἡλίῳ συστρέφοντες, ὥσπερ καὶ αἱματίνας τὰς ὁδ-
δρακούντιον αἷμα λέγουσι· ὠφελοῦσι δυσεντερικοῖς
πινόμενον μετὰ λημνίας σφραγῖδος καὶ ἀρμενίου βώλου·
ῥίζαν ἐμμεγέθη· στρογγύλην· λευκήν· φλοιὸν ἔχου-
σαν λεπτόν· συλλέγεται δὲ ὁ καρπὸς καὶ χυλίζεται, ὅταν
πυρκάζῃ· καὶ ξηραίνεται ἐν σκιᾷ· ἡ δὲ ῥίζα, ὀρύσσε-
ται περὶ ἀμητόν· καὶ πλυθεῖσα, κατατέμνεται· καὶ
σχοινίῳ διατριφθεῖσα καὶ διαληφθεῖσα ἱμάντι, ξηραί-
νεται ἐν σκιᾷ· θερμαντικὴ δέ ἐστι μετὰ συγκριτι-
κῆς· ποιεῖ δὲ ὀπτή τε καὶ ἑφθὴ καὶ μετὰ μέλιτος ἐκλει-
χομένη, πρὸς ὀρθοπνοϊκούς· ῥήγματα· σπάσμα-
τα· βῆχας· κατάρρουν· ποθεῖσα δὲ μετὰ οἴνου, τὰς
ἀπίσκυουσας ὁρμᾷ διαγάρα· καθαίρει δὲ σὺν μέλιτι
λεανθεῖσα καὶ ἐπιπλασθεῖσα, τὰ κακοήθη τῶν ἑλκῶν·
καὶ φαγεδαινικά· καὶ μάλιστα μετὰ λευκῆς ἀμπέλου·
καὶ κολλύρια δὲ ἐξ αὐτῆς σὺν μέλιτι πρὸς σύριγγας ἀνα-
πλάττεται, καὶ ἔμβρυον ἐκκομίζει· ποιεῖ δὲ καὶ
πρὸς ἀλφοὺς σὺν μέλιτι καταχρισθεῖσα· πολύποδας
δὲ καὶ καρκινώματα, δαπανᾷ· ποιεῖ δέ, ὁ χυλὸς
αὐτῆς καὶ εἰς ὀφθαλμικά· πρὸς νεφέλια καὶ λευκώματα·
ἀχλύων· ἡ δόσις μὲν τῆς ῥίζης καὶ τῆς πόας σὺν ἀρτ-
σκαπτύων σὺν ἀλημμασίνων, φθόριον ἐστί· τοῦ κα-
ρποῦ κ' κόκκοι ποθέντες μετὰ ὀξυκράτου· ἐκκρίνουσι δὲ
τῷ χυλῷ τούτους καὶ τοὺς ἐνταλγιῶντας ἐκχυμάτι-
ζουσι μετὰ ἐλαίου· φύλλα δὲ ὡς στύφοντα, τοῖς νεω-
τρώτοις ἐπιπλάσσεται· ἢ ἑψημένα δὲ ἐν οἴνῳ, καὶ τοῖς χυ-
μέθλας ἔχουσι· φασὶ δὲ καὶ τοὺς τρίψαντας αὐτῶν
ταῖς χερσὶ· ἢ τὴν ῥίζαν ἀναιροῦσιν, ὑπὸ ἔχεος
μὴ δάκνεσθαι :~

περὶ δρακοντίας μικρᾶς·

Δρακοντία μικρά· οἱ δὲ, ἄρον· οἱ δὲ ἴαρις· οἱ δὲ ἀπαρ-
στις· οἱ δὲ παρνόδου· οἱ δὲ κυνόζωλον· οἱ δὲ φοινικοῦς·
οἱ δὲ, ὀνοκάρδιον· οἱ δὲ ἀφίλτιον· Αἰγύπτιοι, ἄν-
βρων· οἱ δὲ, ἄρυθμον· Ῥωμαῖοι, βιπεράλις πορίνα·
θούσκοι, γιγαρούμ· Σπανοί, λάϊμα· Δάκοι, κύριω-
νίκουμ· Ἄφροι, ἀγαρνίχαμ· Σύροι, λούφαν· φύ-
λλα ἔχει τοῖς τοῦ δρακοντίου ὅμοια· ἀσπίλω-
τα· πλὴν οὐχὶ ἐσχισμένα καὶ κατωνευκότα· καὶ
ἐπιπλατυσμένα ὥσπερ γλωσσίδια· ἢ βοστρύχους λαγωίου·
ἀλλὰ τριγωνοειδῆ κισσῷ ἐοικότα· καυλὸν δισπιθαμι-
αῖον· ἢ καὶ μείζονα ὑπόπυρον· πεπυρωμένον· ἀφ' οὗ
ἄκρα πρὸς κρούζων· βοτρυώδης· ῥίζα ἐστὶν λευκή·
πρὸς τὴν τοῦ δρακοντίου· ἄξω δὲ ὑπόπυρος· ἥτις ἑψη-
θεῖσα καὶ ἐσθίεται· ἢ τῶν οὐ σφόδρα δριμέων· ταριχεύεται δὲ τὰ
φύλλα εἰς βρῶσιν· δύναμιν δὲ ἔχει τὸ σπέρμα καὶ τὰ φύ-
λλα καὶ ἡ ῥίζα, τὴν αὐτὴν τῇ προειρημένῃ δρακοντίᾳ·
ποιεῖ δὲ ἡ ῥίζα καταπλασσομένη σὺν βολβίτῳ, ἐπὶ
ποδαγρικῶν· ἀποτίθεται δὲ ἐπὶ ποδαγρικῶν· καὶ
καθόλου εἰς τὰ ποιλ[?] δριμύ, ἀδιάφορα κατάρα[?]:-

περὶ δικτάμνου·

Δίκταμνον· οἱ δὲ βελοῦλκος· οἱ δὲ ἀρτεμίδιον· οἱ δὲ Κρη-
τική· οἱ δὲ ἐφήμερον· οἱ δὲ γλήχων ἄγριον· οἱ δὲ ἐλ-
δία· οἱ δὲ βαλιτώκος· οἱ δὲ, δορκίδιον· οἱ δὲ ἐλβού-
νιον· Ῥωμαῖοι, οὐστιλλάγω ρουστικα· Ἄφροι δὲ ἐν-
βαιτρον· πόα ἐστὶ δριμεῖα λεία· Κρητική· ὁμοία
γλήχωνος· φύλλοις· μείζονα δὲ καί τινα φλοιώδη ἔχει· καὶ
ἐριώδη τινὰ ἐπὶ τοῖς φύλλοις ἐπιφύεται· ἢ τοιμάλλωτον·
ἐν τοῖς μέρεσι ψιλώτερα καὶ κατάστικτα ἔξω δὲ μικρὸν χλωρά·
καὶ ὁμοίως ἔχοντα· οὔτε δὲ ἄνθος, οὔτε καρπὸν φέρει·

ποιεῖ δὲ πάντα ὅσα καὶ ἡ ἡμέρα γλήχων· εὐωδέστερον
δὲ πολλῷ· οὐ μόνον γὰρ ποτιζομένη, ἀλλὰ καὶ προστιθε-
μένη καὶ ὑποθυμιωμένη, τὰ τεθνηκότα ἔμβρυα
ἐκβάλλει· φασὶ δὲ τὰς αἶγας ἐν κρήτῃ ἀπὸ τοῦ τοξευ-
θῆναι νεμηθείσας τὴν πόαν, ἐκβάλλειν τὰ βέλη· κλῶ-
νας δὲ ἔχει ὅσοι δὴ θαμνίσκοι μικρὰ βλάστου, καὶ μείζονας·
φύλλα δὲ ἀπὸ διαστημάτων πολλά, ὡς ὑπογράφεται:~

περὶ δικτάμνου·

Δίκταμνον· οἱ δὲ κρονοσδίανου· οἱ δὲ χαμαιελαίων· οἱ δὲ
ὀνουδάρδιον· οἱ δὲ ἀφροδίτης λουτρόν· ῥωμαῖοι, λαμ-
βρουβέμαρις· οἱ δὲ καρδουβέμαρις· οἱ δὲ κοτχαβά-
ναρις· οἱ δὲ καὶ κρουσιουμ· οἱ δὲ ἀπισουμ· οἱ δὲ
μουραπάναλ· οἱ δὲ ἡ ἴσουλ· αἰγύπτιοι, σάναορ·
οἱ δὲ χύρ· οἱ δὲ ἀμάλητα· δάκοι, σικόρη· ὁ θάμ-
νος, χαρβάθυ. τῶν ἀκανθωδῶν βοτανῶν ἐστί· φύ-
λλα ταῖς μὲν πρὸς γῆν θριδακοειδῆ, μικρὰ· πλατύτερα
λαῖ τραχύτερα καὶ μαλακώτερα· ἐν μέσῳ δὲ τούτων
δίκτην καυλὸς· μακρός ἀκανθώδης· καὶ ἀπ' αὐτοῦ κλῶ-
νες ἄτεροι πολλοὶ συνεχεῖς ὅμοιοι αὐτοῖς· ἐν ἄκροις ἔχοντες
ὑπ' αὐτῶν ἀκανθώδεις ἐκ διαστημάτων ἀκανθώδεις, ὅμοι-
ως ἀνακεκαμμένοις ἐπὶ τοὺς ὀπίσω ἐπὶ πολύ· ὅσον καὶ πρὸ αὐτοῦ
τὰ περὶ αὐτὸν φυλλάρια, καθάπερ ὄνυξ ὑπομήκη
καὶ ἀκανθώδη· καὶ ἔξωθεν ἐπὶ μέσης τῆς ῥάχεως, ἔχου
τὰ ἀκανθώδη τὰ περὶ τούτων φύλλων· ὡς παρὰ τὰ
ἀπὸ τῶν ὀμβρίων καὶ τῶν δρόσων φυλάττειν· ὁ θάμνος τὸ ὄ-
νομα ἔλαβεν· ἀπὸ δὲ ἄκρου δὲ τοῦ καυλοῦ καθάπερ κεφάλιον
φέρων, κεφαλὴ μικρὰ ὡσεὶ κύαθος, ἐκεῖθεν ἀχίνῳ, καὶ μᾶλλον
φαλαγγίῳ· ἢ ἀράχνῃ μακρῷ· ὑπομήκης· ἀκανθώδης·
ξηρὸν δὲ πάσχει ὅλον καὶ βοτάνη γίνεται· ἔχει δὲ καὶ συμ-
λύει, καὶ τὰ ἄμα σὺν τοῖς ἐντεριώνῃ· ἡ ἐν τὰς κεφαλαῖς·

ἄλλα ἕνα εἰς σκύτιον ἐνδεδεμένα· καὶ περιαπτόμενα τρα-
χήλῳ ἢ βραχίονι, ἰσορροποῦντας τεταρταίους θεραπεύει.
ἡ δὲ ῥίζα ταύτης ἐν οἴνῳ ἀφεψηθεῖσα καὶ κοπεῖσα μετὰ κηρω-
τῆς χαλκοῦσα πάχος, τὰς ἐν δακτυλίῳ ῥαγάδας καὶ σύ-
ριγγας, ἐν τῷ θερμὴν καὶ ἐπιτιθεμένη, θεραπεύει.
ἀποτίθεσθαι δὲ δεῖ εἰς χαλκοῦν πυξίδα τὸ φάρμακον.
φασὶ δὲ μυρμηκίας καὶ ἀκροχορδόνας αὐτὰ [illegible]:~

περὶ δρυοπτερίδος·

Δρυοπτερίς· οἱ δὲ, πτερίον· οἱ δὲ νυμφαία πτερίς·
Ῥωμαῖοι, φιλικουλάγε· φύεται κατὰ τὰ βρυώδη μέρη τῶν
παλαιῶν δρυῶν, ὁμοία πτερίδι· ἐλάττων δὲ πολλῷ τῇ
σχίσει· ῥίζας δὲ ἔχει κατὰ τὴν πλοκὴν· δασείας· στρυφνὰς καὶ
ταῖς γεύσεσιν ἐν τῷ γλυκεῖ· φύλλα, λόγχῃ ὅμοια· τοῦτο ἐπι-
πλασθὲν λεῖον σὺν ταῖς ῥίζαις, τρίχας ψιλοῖ· ἄκαυλον·
ἄλλως δ᾽ ἀνὰ τρίχας μέλανας ἵππου κλῶνας ἔχειν· ἐν οἷς τὰ
φύλλα· δεῖ δὲ ἀποσπᾶν τὸ πρῶτον μετὰ τὸ ἀκμάσαι τὸν χρό-
νον, καὶ ἀναφύειν ἐπὶ πλάτιν:~

περὶ δελφινίου

Δελφίνιον ἕτερον· οἱ δὲ ὑάκινθον· Ῥωμαῖοι, βουκίνους·
καὶ αὐτὸ ἐμφερὲς τῷ πρὸ αὐτοῦ· τοῖς δὲ φύλλοις καὶ τοῖς κλω-
νίοις, ἰσχνότερον πολλῷ· δύναμιν ἔχον καὶ αὐτὸ, τὴν αὐ-
τὴν τῷ προειρημένῳ· ἔχει τοῦτο δὲ ἐντυχνάστερον:~

περὶ δικτάμνου·

Δίκταμνον ἕτερον· οἱ δὲ ἀφήμερον· οἱ δὲ ἄλιμον· Ῥωμαῖοι,
οὐστιλάγω· φύεται δὲ καὶ ἐν Κρήτῃ ἕτερον εἶδος δικτά-
μνου, φύλλοις ἐμφερὲς, σισυμβρίῳ· κλῶνας δὲ μείζον·
ἀφ᾽ ὧν ἄνθος ὁρμίνῳ ἀγρίῳ ὅμοιον· μέλαν· μαλακόν· ὀσ-
μὴ δὲ τῶν φύλλων, μεταξὺ σισυμβρίου καὶ ἐλελισφάκου·
ἡδίστη· ποιεῖ δὲ πρὸς ἅπαντα καὶ ἡ πρὸ αὐτῆς· ἧττων πληκ-
τικὴ ὑπάρχουσα· μίγνυται δὲ ἐμπλάστροις θηριακαῖς:~

περὶ δαφνοειδοῦς·

Δαφνοειδές· οἱ δέ, εὐπέταλον· οἱ δὲ δαφνοειδὲς· οἱ δὲ χαμαιδάφνην· οἱ δέ, ὑπόγλωσσον· θαμνίσκος ἐστὶ πηχυαῖος κλάδοις πολλοῖς καὶ ἱμαντώδεσι, πρὸς τῷ ἀνθήματι, φυλλοφόροις· φλοιὸς δὲ περὶ τὰς ῥάβδους γλίσχρος· ἰσχυρός· φύλλα δαφνοειδῆ, μαλακώτερα δὲ καὶ ἰσχνότερα· οὐ καὶ γευόμενα δάκνοντα καὶ πυροῦντα τὸ στόμα· ἄνθη λευκά· καρποὺς δὲ μέλανας ὅταν πεπανθῇ· ῥίζα ἄχρηστος· φύεται ἐν ὀρεινοῖς τόποις· δύναται δὲ τὸ φύλλον αὐτοῦ ξηρὸν καὶ χλωρὸν ποθέν, τὴν κοιλίαν φλεγματώδη· κινεῖ δὲ καὶ ἐμέτους· καὶ ἔμμηνα· καὶ διαμασηθέν, ἀποφλεγματίζει· ἁρμόζει καὶ πταρμικόν· καθαίρει δὲ καὶ ὁ καρπὸς αὐτοῦ ὅσον κόκκοι ιε' πινόμενοι ὁμοίως τοῖς φύλλοις:-

ἀρχὴ τοῦ ε' βιβλίου·

περὶ ἐρυσίμου·

Ἐρύσιμον· οἱ δὲ χαμαίπλιον· προφῆται, ἡρακλείους αἷμα· Αἰγύπτιοι, ἀραθμού· Ῥωμαῖοι, ἰριώνεμ· φύεται μάλιστα περὶ τὰς πόλεις καὶ οἰκόπεδα καὶ κήποις· φύλλα δὲ εὐζώμῳ ἀγρίῳ ὅμοια· καυλία ἱμαντώδη· ἄνθη μηλίζοντα· ἐν ἀκμῇ λυξιν· ἀπ' ἄκρων δέ, λοβοὶ κερατώδεις ἰσχνοὶ ὡς τήλιδος· ἐν οἷς σπερμάτιον μικρὸν καρδάμῳ ὅμοιον· πυρῶδες κατὰ τὴν γεῦσιν· ποιοῦντα πρὸς θώρακος ῥευματισμούς· ἐμπύους· βῆχας· ἴκτερον· ἰσχιάδας· ἐκλειχόμενον σὺν μέλιτι· πίνεται δὲ καὶ πρὸς θανάσιμα φάρμακα· καταπλασσόμενον δὲ μεθ' ὕδατος ἢ μέλιτος, ὠφελεῖ καρκινώματα κρυπτά· σκληρώματα παρωτίδων· μασθῶν· διδύμων φλεγμονάς·

λα πτύοντα καὶ καθόλου θερμαίνει· ἐπιτεθεῖσα ξηρὰ δὲ
γίνεται εἰς τὰ ἐκλείγματα, προσβραχυνθεῖσα δὲ καὶ
φωχθεῖσα· ἢ ἐνδεθεῖσα εἰς ὀθόνιον καὶ ὀπτηθεῖσα, στέατος
περιπλασθέντος:~ περὶ ἐφημέρου·

Ἐφήμερον· οἱ δὲ κολχικόν· οἱ δὲ βολβὸν ἄγριον· ῥω
μαῖοι, βουλβοὺς ἄγρεστις· λέγονται δὲ τοῦ φθινοπώ
ρου, ἀφίησιν ἄνθος ὑπόλευκον, ὅμοιον κρόκου ἄνθει· ὕ
στερον δὲ τὰ φύλλα φέρει· βολβῷ παραπλήσια· ἠλι
παρώτερα· καὶ καυλὸν σπιθαμιαῖον ἔχοντα· πυρ
ρὸν ἐντὸς μέλανι· ἥτις λεπτὴ ζομένη λευκὴ καὶ ἁπαλὴ καὶ
ὀποῦ μεστή, εὑρίσκεται καὶ γλυκεῖα, ἔχουσα καὶ ὁ βολ
βὸς διάσχισιν μέσον καθ' ἣν τὸ ἄνθος ἀφίησι· γεννᾶ
ται δὲ πλεῖστον, ἐν τῇ μεσσηνίᾳ καὶ ἐν κόλχοις· βρωθεὶς
δὲ ἀναιρεῖ κατὰ πνιγμοὺς ὁμοίως μύκησιν· ἀνέγραψα δὲ
δὲ αὐτό, ἵνα μὴ λάθῃ βρωθὲν ἀντὶ βολβοῦ· παρά
δοξος γὰρ ὢν ἐπάγει καὶ διὰ τὴν ἡδονὴν τοῖς ἀπείροις·
βοηθεῖ δὲ οἷς καὶ μύκητες· καὶ γάλα δὲ βόειον πινό
μενον ὡς ὅταν παρὰ τοῦ μηδενὸς ἄλλου δεῖσθαι βοη
θήματος:~ περὶ ἐπιμηδίου·

Ἐπιμήδιον· οἱ δέ, ἀρινασός· οἱ δὲ θρίαξ· οἱ δὲ πο
χύριζον· ῥωμαῖοι, ... οὐ γίνεται· καυλὸς ἐστὶν οὐ μέ
γας· κισσῷ παραπλήσιος· φύλλα ἔχων ἔνδεκα, ἢ
ιβ συνκοδόη· οὔτε δὲ καρπόν, οὔτε ἄνθος φέρει· ῥίζας
λεπτὰς· μελαίνας· βαρυόσμους γευσαμένοις μωράς· φύ
εται δὲ ἐν τόποις ὑδρηροῖς· ταύτης τὰ φύλλα λεῖα μετ' ἐ
λαίου, καταπλασσόμενα μαστοὺς εἰς τὸ μὴ αὔξεσθαι· ἀ
τόκους δὲ ἡ ῥίζα καὶ τὰ φύλλα λεῖα ποθέντα ἐν οἴνῳ με
τὰ τὴν κάθαρσιν, ἐφ' ἡμέρας πλῆθος πέντε:~

περὶ ἐρίνου·

Ἔρινος· οἱ δὲ ὠκιμοειδές· οἱ δὲ ὑδρηρόν· ῥωμαῖοι, ὠκιμοῦλουμ

δικουατζινουμ· οἱ δὲ μιω φερμ· φύεται παρὰ πο-
ταμοῖς· φύλλα δὲ ἔχει ὠκίμοις ὅμοια· μικρότερα
δὲ καὶ ἀπεσχισμένα ἐν τῷ ἄνωθεν μέρει· ἢ μᾶλλον ὅμοια
τοῖς ἀνθυλλίδος φύλλοις· καυλία δὲ πέντε ἢ ἕξ ἢ καὶ
θαμνῶδες· ἄνθη, λευκά· καρπὸν δὲ μέλανα· στρυφνόν·
ὅπου δὲ μεστὸς ἐστὶν ὁ καυλὸς καὶ τὰ πέταλα· τούτων ὁ καρ-
πὸς δραχμῶν δύο τὸ πλῆθος· πρὸς κυάθους μέλιτος
δὲ, ῥεύματα ὀφθαλμοῦ ἐγχριόμενος ἵστησιν· ὁ δὲ χυλὸς
οὗτος, πόνον παύει ἅμα τὰ ὦτα καὶ οἴνῳ ἐνσταζόμενος:—

περὶ ἐπιθύμου·

Ἐπίθυμον· οἱ δὲ κάσσης· ῥωμαῖοι, ἰνουολουκρουμ· ἄνθος
ἐστὶ θύμου· οὐ καὶ σματζουκαθριμπου οἱ πολλοὶ καλοῦ-
σι· πλείω μὲν κροτάρους τοὺς κορύμβους ἔχει· ἄνθος
ἐς πορφυροῦν θύμου τοῦ σκληροῦ· καὶ θύμβρας ὅμοι-
ως· ἔστι δὲ κεφάλια πορφυρᾶ αὐτοῦ λεπτά· κοῦφα· οὐρα-
νοὺς ἔχοντα ὡς τρίχας πορφυρᾶς· καθαίρει δὲ πινό-
μενον κάτω φλέγμα, καὶ χολὴν μέλαιναν· ἰδίως δὲ ἁρ-
μόζον ἐπὶ μελαγχολικῶν· ἐμπνευματουμένων· ὀξυβά-
φου πλῆθος, πρὸς ὁλκὴν τεσσάρων Lων· ἐν μέλιτι καὶ
ἁλσί, καὶ ὀλίγῳ ὄξει· γίνονται δὲ πλεῖστον, ἐν παμφυλίᾳ:—

περὶ ἐλαιοσελίνου

Ἐλαιοσέλινον· οἱ δὲ πάδινον· οἱ δὲ ὑδροσέλινον ἀγρίου·
ῥωμαῖοι, ἄπιουμ ῥουστικουμ· καὶ τὸ ἐλαιοσέλινον
δὲ γινόμενον ἐν τοῖς ἐφύδροις τόποις μεῖζον ὂν τοῦ ἡ-
μέρου σελίνου, ποιεῖ ὅσα καὶ τὸ κηπαῖον:—

περὶ ἠριγέρωνος

Ἠριγέρων· οἱ δὲ ἀραχνίτης· ῥωμαῖοι, ἑρβουλουμ· οἱ δὲ,
σενέκιον· πόα ἐστὶ ἀπὸ τῆς γῆς ἡπλωμένη· φύλλα ἔχουσα τε-
λευροσχιδῆ· ἄκαυλος· ἡ μὲν μέντοι τὰ ἄνθη ἐξ ἁπλῶν τε-
νυκτὸς δὲ τὰ ὑποταρβοῦσα· ἐν καυλίῳ ὡς πηχιαίῳ ὑπέρ

ἠριγέρων διὰ τὸ
ἐν τῷ ἦρι γη-
ρᾶν ἢ πολιοῦσθαι·
[illegible]

ρυθρὸν ἢ ὠχρόν· ἔχον φυλλάρια ἀκροσχιδῆ, ὡς περ
σεζώμου· παρὰ πολὺ δὲ ἔλαττον· ἄνθη, μήλινα·
ταχέως δὲ σχιζόμενα καὶ ἀπεξανθοῦντα εἰς τοὺς λεγομένους
πάππους· ὅθεν καὶ ἠριγέρων ὠνομάσθη, διὰ τὸ τὴν
δὲ ἐς τὰ ἄνθη αὐτοῦ τριχοειδῶς πολιοῦσθαι· ῥίζα
δὲ ἄχρηστος· φύεται μάλιστα ἐπὶ στρίβων ἢ ἐπὶ θριγκῶν·
καὶ περὶ τὰς πόλεις· δύναμιν δὲ ἔχει ψυκτικήν· τὰ φύ-
λλα σὺν τοῖς ἄνθεσι, σὺν οἴνῳ λευκῷ, ἢ καθ᾽ ἑαυτά· φ-
λεγμονὰς ὄρχεων καὶ δακτυλίων ἰᾶσθαι· σὺν δὲ μάννῃ
λιβανωτοῦ τά τε ἄλλα τραύματα καὶ τὰ ἐν νεύροις θερα-
πεύει· καὶ οἱ πάπποι δὲ καθ᾽ ἑαυτοὺς καταπλασθέντες
σὺν ὄξει, τὸ αὐτὸ δρῶσι· ποθέντες μέντοι, οἱ νωθροί, πνι-
γμοὺς ἐπιφέρουσι :—

περὶ ἑρπύλλου·

Ἕρπυλλος· οἱ δὲ ζυγὶς ἄγριος· οἱ δὲ πόλιον· Αἰγύπτιοι,
μαρουόπιος· οἱ δὲ πολλοὶ τῶν ἄνω, χαμαικερασιάν·
ῥωμαῖοι σερπύλλουμ· οἱ δὲ κερκαλισκουμ· ὁ μὲν τῆς
ἀστικῆς ἐστὶ σαμψύχῳ ἐοικὼς τῇ ὀσμῇ· καὶ στεφανωτική·
ὠνόμασται δὲ ἀπὸ τοῦ ἕρπειν καὶ ὅπου ἂν αὐτοῦ μέρος
θίγῃ τῆς γῆς ῥιζοβολεῖν· ἔχει δὲ φύλλα καὶ κλωνία,
ὅμοια ὀριγάνῳ· πολὺ λευκότερα· ὅταν ποσὶ δὲ αἱμασιῶν
καθιέμενος, δασύτερος γίνεται· ὁ δὲ ἐστὶν ἄγριος·
καὶ κατὰ γῆς οὐχ ἕρπων, ἀλλ᾽ ὀρθός· κλωνία δὲ ἔχων
φρυγανώδη· φύλλα περὶ αὐτά, ὅμοια πηγάνῳ· ὑπό-
στενα καὶ ἐπιμήκη, σκληρότερα ἢ καὶ μικρότερα· ἄνθη δὲ τὰ
γέμοντα, δακνώδη· ἐρυθρά· μικρά· ὀσμὴ δὲ ἡδίστη·
ῥίζα ἄχρηστος· φύεται ἐν πέτραις· ἐνεργέστερος δὲ καὶ
θερμαντικώτερος τοῦ κηπαίου ὑπάρχων· καὶ πρὸς τὴν
ἰατρικὴν χρῆσιν, ἐπιτήδειος· ἐμμήνων ἀγωγός· καὶ
οὖρα κινεῖ πινόμενος· ὠφελεῖ στρόφους· ῥήγματα·

ἢ ἥπατος φλεγμονήν· καὶ πρὸς ἄρπυτα πίνεται·
καὶ κατὰ πλανώμενος, κεφαλῆς τὰ ὀδύνην παρα-
μυθεῖται, ἐπιτιθέμενον ξὺν ὄξει καὶ κατὰ βραχὺ μετὰ ῥο-
δίνου μιγέντος αὐτῇ· μάλιστα δὲ ἐπὶ ληθάργου καὶ
φρενίτιδος ἁρμόζει· παύει δὲ καὶ ἐμετὸν αἱμάτων,
δραχμῶν ἑνὸς πλῆθος· καὶ τὰ ὀξέα πάθη.· ~

περὶ ἐρυθροδάνου

Ἐρυθρόδανον· οἱ δὲ τεύθριον· οἱ δὲ κασιῆρον· οἱ δὲ
σαρκινος· οἱ δὲ κινάβαρις· ῥωμαῖοι ῥούβια παλαι-
βα· θοῦσκοι λαππαμίνωρ· αἰγύπτιοι σοφώβη·
οἱ δὲ πολλοὶ τοῦ αὐτοῦ ἐρυθρίδιν καλοῦσι· ῥίζαι εἰσὶ
ἐρυθραί· βασιλικὴ ἡ μὲν τῇ ἀγρία· ἡ δὲ σπαρτή· ἐν
ῥαβέννῃ τῆς ἰταλίας μεταξὺ ἐλαιῶν φυτεύεται διὰ
τὸ γίνεσθαι ἐκ τούτου πρόσοδον· μονόριζος ἡ βοτάνη
καὶ μονόκλωνος· εἰσὶ δὲ αὐτοῦ οἱ καυλοὶ μακροὶ τετρά-
γωνοι· τραχεῖς· ὅμοιοι τοῖς τῆς ἀπαρίνης κατὰ πάντα
μείζονες· πλείονες καὶ ῥωμαλεώτεροι· ἔχοντες ἐν διαστή-
μασι τὰ φύλλα, καθ' ἕκαστον γόνυ· ὥσπερ ἀστέριου
κύκλῳ τίθενται, ἢ ἐννέα· τὸν καρπὸν πρῶτα χλωρόν· εἶ-
τα ἐρυθρόν· ἔπειτα πεπαινόμενον, μέλαν· ῥίζα
μακρά· λεπτή· ἐρυθρά· διουρητική· ὅθεν ἰκτερικοῖς
μετὰ μελικράτου πινομένη βοηθεῖ· ἰσχιαδικοῖς τε καὶ
παραλελυμένοις· ἄγει τὰ οὖρα· καὶ παχέα καθόλου δὲ
καὶ αἷμα· λούεσθαι μέντοι καθ' ἡμέραν δεῖ τοὺς πίνον-
τας ἀρχιοσχήκτοις βοηθεῖ, ὁ καυλὸς αὐτῆς μετὰ τῶν φύλ-
λων ποθείς· ὁ δὲ καρπὸς μετ' ὀξυμέλιτος πινόμενος, σπλῆ-
να τήκει· προστεθεῖσα δὲ ἔμμηνα ἄγει· καὶ σὺν τύρα·
θεραπεύει δὲ καὶ ἀλφοὺς λευκούς, μετ' ὄξους κατα-
πλασσομένη.· ~

περὶ ἐχίου

Ἔχιον ὁμοίως· οἱ δὲ ἀλκιβιάδιον· οἱ δὲ σωτήριον· ῥω

μᾶζοι, αἱ κουβιακούμ· τὰ μὲν φύλλα ἔχει προ-
μήκη· τραχέα· ὑπόλευκα πρὸς τὰ τῆς ἀγχούσης,
ὑπέρυθρα· ἢ πολλὰ δὲ καὶ λιπαρά· ἄκανθαι λεπταὶ
ἀκάνθαρτα· ἀκίδας σὺν τοῖς φύλλοις· καυλία λεπτὰ
πολλὰ πρὸς λόγου ἀπ' ἄκρου τοῦ καυλοῦ· τὰ δὲ ἄνθη
παρὰ τὰ φύλλα πορφυροειδῆ· ἐν οἷς οἱ καρποὶ σχῆμα
ἔχειος κεφαλῆς ὅμοιοι· ἢ ὑοσκυάμου παραπλήσιοι·
ῥίζα λεπτοτέρα δακτυλιαία· ἀπὸ μέσου μέλαινα· ἡ
τῆς οὐ μόνον τοῖς δηχθεῖσιν ὑπὸ ἑρπετῶν βοηθεῖ ποθεῖ-
σα μετ' οἴνου, ἀλλὰ καὶ τοὺς προπιόντας, ἀδήκτους τηρεῖ·
ὅμοιοι καὶ ὁ καρπός. καὶ τὰ φύλλα παύει ὀσφύος ἀλγή-
ματα· καὶ γάλα κατάγει πινόμενα μετ' οἴνου· ἢ ἐν πιτύρου ῥοφήματι
ποθέντα:-

περὶ ἑλλεβορίνης:

Ἑλλεβορίνη· οἱ δὲ ἐπιπακτίς· οἱ δὲ βόρβορον· θαμνίσ-
κος μικρός· καυλοὺς ἀνίησι ἀπὸ θαμίσκου· ἀπ' ἄ-
κρου κλωνοφυής· ἄνθη πορφυρᾶ· καρπὸν μικρὸν μέλα-
να· ἴσα στρύχνῳ· σκληρόν· φυλλάρια ἐξ ἀρχῆς ἀβρυ-
χλιώδη· ὀρθὰ ἔχων· πίνεται πρὸς θανάσιμα καὶ
πρὸς τὰ ἡπατικὰ πάθη:-

περὶ ἑλλεβόρου λευκοῦ·

Ἑλλέβορος λευκός· οἱ δὲ ἀσκαΐσα· οἱ δὲ εὔτομον·
οἱ δὲ πιναλ τοξαρίς· προφῆται γόνος ἡρακλέος·
οἱ δὲ πολύειδος· οἱ δὲ ἀνάφυσος· αἰγύπτιοι, σο-
μήφια· οἱ δὲ ὀστρο· ῥωμαῖοι, βηλατρούμ ἄλβουμ·
γάλλοι, λάγονον· οἱ δὲ ἀνάτα· φύλλα μὲν ἔχει ὅμοια
τοῖς τοῦ ἀρνογλώσσου· κατὰ σίκυα γραμμὰς ἔχοντα ὡς
τὸ ἀρνόγλωσσον· βραχύτερα δὲ καὶ τῇ ῥάχῃ ἐρυθρά·
ὅταν δὲ ἐξίηται ξηραίνεσθαι· ῥίζας δὲ ὑπεῖσι πολλὰς
λεπτὰς· ἀπὸ κεφαλίου μικροῦ ὥσπερ κρομμύου·
φύεται ἐν ὀρεινοῖς τόποις· ὀρύττειν δὲ δεῖ τὰς ῥίζας·

περὶ τοῦ πυραμητοῦ· ἄριστος δὲ ἐστὶν αὐτοῦ ὁ ἐμμα-
τρίως τεταμένος λευκὸς· καὶ σαρκώδης· ἀλλ᾽ ἔχων ἐν
τὴν ἐντεριώνην λεπτήν· πυρώδης τὴν γεῦσιν·
πρωτεύει δὲ ὁ ἀστερατικός· ἔτι ὁ γαλατικὸς· καὶ
καππαδοκικός· καὶ χλωρώδης· καὶ πνιγωδέστερος·
καθαίρει δὲ δι᾽ ἐμέτων ἄγων ποικίλα· μίγνυται δὲ
καὶ κολλυρίοις τοῖς δυναμένοις τὰ σκοτοῦντα
τὰς κόρας ἀποκαθαίρειν· καὶ ἔμμηνα δὲ κινεῖ καὶ
ἔμβρυα κτείνει προστεθείς· πταρμούς τε ἐρε-
θίζει· καὶ μύας κτείνει σὺν μέλιτι καὶ ἀλφίτῳ φυρα-
θείς· ἀφεψόμενός τε κρέασι συντήκει ταῦτα· καὶ δίδοται
δὲ νήστεσι μετὰ σησαμοειδοῦς καὶ ἀθάρας χυλοῦ· ἢ
ἄλικος· καὶ μελικράτου· ἢ φακοῦ ῥοφήματος· συ-
σιτοποιεῖται δὲ ἅμα ἄρτῳ καὶ ὀπτᾶται· ἡ δὲ προσαγωγή, ἡ
ἀπὸ διαίτης προσεξεργάζεσθαι παρὰ τοῖς προηγουμένοις
περὶ τῆς δόσεως αὐτοῦ γράφεται· μάλιστα δὲ σύγγραμμα
τεθέμενος Φίλωνι δὲ ἐπιπλοκῶς τὸ μὴ θέλειν ἐν
ὕλαις παράδοσιν θεραπευτικὴν ἀγωγῶν· διδόασι δὲ
ἔνιοι σὺν πόλτῳ ἢ ῥοφήματι· ἢ χόνδρῳ· ἢ καὶ ῥο-
φῷ ὀλίγων προσδιδόντων, ἀποδιδόασι τὸν ἐλλέβο-
ρον· ἀφ᾽ ὧν μάλιστα ὁ πνιγμὸς ὑποπτεύεται· ἡ ἀσθέ-
νεια σώματος ὑπόκειται· καὶ ἐνδοιαστὴς γὰρ ὄντι
αὕτη καὶ θάρσος, διὰ τὸ ἀκαίρως τὸ φάρμακον παραστῆ-
σθαι τοῖς σώμασι· καὶ βάλανοι δὲ ἐξ αὐτοῦ προστε-
θεῖσαι κατὰ ὑστέρα, ἔμμηνα κινοῦσιν:~

περὶ ἐλλεβόρου μέλανος

Ἐλλέβορος μέλας· οἱ δὲ μελάμποδιον· οἱ δὲ ὠραίσιον·
οἱ δὲ κεντήν· οἱ δὲ πολύρριζον· οἱ δὲ μελανόρριζον·
οἱ δὲ πρώτιον· οἱ δὲ κυράνιον· προφῆται, ζωμαρί-
της· αἰγύπτιοι, ἰγλεία· οἱ δὲ, ἐλαφίνη· οἱ δὲ καμάδαι·

ῥωμαῖοι, βατρουμνίκω· οἱ δὲ κιονοσαλικοῦ· οἱ δὲ σκερα-
κά· δάκοι, προσδιάρνα· μελάμποδιον λέγεται,
ἐπειδὴ καὶ μελάμπους τις αἰπόλος τὰς τοῦ προίτου
θυγατέρας μανείσας, ἐν αὐτῷ καθάρας πρῶτος καὶ
θεραπεύσας· ἔχει δὲ τὰ φύλλα χλωρά, πλατανοει-
δῆ· ἐλάττονα σχήματι, καυλὸν δὲ ἔχει βραχύν· ἄνθη
δὲ λευκά, ὑποπόρφυρα· τῷ δὲ σχήματι βοτρυώδη· ἐν
οἷς αὐτῷ καρπὸς κνηκώδης· ὃν καὶ αὐτὸν καλοῦσιν
οἱ ἐν ἀντικύρᾳ, σησαμοειδῆ, χρώμενοι αὐτῷ εἰς τὰς
καθάρσεις· ῥίζας δὲ ὕπεισι, λεπταί, μέλαιναι· οἷο-
νεὶ ἀπό τινος κεφαλίου κρομμυώδους, ἠρτημέναι,
αἳ καὶ ἐν χρήσει· φύεται ἐν τραχέσι καὶ γεωλόφοις
καὶ ἐν καταξήροις τόποις· ἄριστος δὲ ὁ ἐκ τῶν τοιού-
των χωρίων, οἷος ὁ ἀντικυρικός· κάλλιστος ὁ μέλας ἐν
αὐτῇ γεννᾶται· ἐκλέγου δὲ τὸν εὔσαρκον· καὶ εὔτρο-
φον, καὶ λεπτὴν ἔχοντα τὴν ἐντεριώνην· δριμὺν ἐν
τῇ γεύσει καὶ πυρώδη· τοιοῦτος δέ ἐστιν ὁ ἐν τῷ ἑλικῶνι
καὶ παρνασσῷ· διαφορεῖ μὲν τὴν κοιλίαν,
ἄγων φλέγμα καὶ χολὴν καθ' αὑτόν· ἢ μετὰ
σκαμμωνίᾳ διδόμενος καὶ ἁλῶν ∠· ἢ τριωβολιαῖος·
μίγνυται δὲ καὶ φακῇ καὶ ζωμοῖς, τοῖς δὲ καθάρσιν
λαμβανομένοις· ὠφελεῖ δὲ ἐπιληπτικούς· μελαγ-
χολικούς· μαινομένους· ἀρθριτικοὺς παραλελυ-
μένους· προστεθεὶς δὲ ἔμμηνα ἄγει· καὶ ἔμβρυα
κτείνει· σύριγγας καθαίρει κατατεθείς· καὶ μετὰ
τρίτην ἐξαιρεθείς· ὁμοίως καὶ ἐπὶ τῶν δυσκωφούντων·
καθίεται δὲ τοῖς ὠσὶ τρίτην ἡμέραν· θεραπεύει
δὲ καὶ ψώρας μετὰ λιβανωτοῦ· ἢ κηροῦ καὶ κεδρίνου
ἐλαίου καταχριόμενος, μετ' ὄξους· καθ' ἑαυτὸν δὲ
καταπλασσόμενος, ἀλφοὺς καὶ λειχῆνας· καὶ δὲ

πρας τριῶν· ἀντιτίθεσθαι δὲ σὺν ὄξει, ὅσον ἡμέρας
τριῶν διακλυζόμενος· σὺν πᾶσι τμὴ γίνεται·
μετὰ κριθίνου ἀλεύρου καὶ οἴνου, κατάπλασ-
μα ὑδρωπικὸν ὠφέλιμον· συμφυτευθεὶς ἀμ-
πέλοις πρὸς τὰς ῥίζας, τὸν αὐτῶν οἶνον καθαρ-
τικὸν ἐργάζεται· περιρραίνουσι δὲ καὶ οἰκίας αὐ-
τῷ· καθαρτικὸν εἶναι νομίζοντες· ὅθεν καὶ ὀρύ-
ττοντες, ἵστανται πρὸς οἴνῳ· εὐχόμενοι Ἀπόλλω-
νι καὶ Ἀσκληπιῷ· φυλαττόμενοι δὲ τὴν ὁριγλῶ-
τοῦ ἐλλεβόρου· συντόμως δὲ ὀρύττουσι, διὰ τὸ κα-
ρηβαρίαν ἐγγίνεσθαι τοῖς ὀρύττουσιν, ἐκ τῆς ἀπο-
φορᾶς· διὸ καὶ πρὸ φυλακῆς οἱ ὀρύττοντες, ἐσθίου-
σι σκόροδα καὶ πίνουσιν· ἀβλαβέστεροι γὰρ οὕ-
τως διατίθενται· ἀξατηρίζεται γὰρ ὥσπερ καὶ ὁ λευ-
κὸς ἐλλέβορος·–

περὶ ἐλαφοσκόρδου

Ἐλαφόσκορδον· οἱ δὲ ἀγριόσκορδον· Ῥωμαῖοι, ἀλλίουμ
καρβινοῦμ· φύεται ἐν ὄρεσι καὶ τραχέσι χωρίοις·
ὅμοιον τῷ ὀφιοσκόρδῳ· δύναμιν δὲ ἔχει, δριμεῖαν·
θερμαντικήν· δηκτικήν· φυσώδη· κοιλίας, τα-
ρακτικήν· ξηραντικὴν στομάχου· καὶ ποιητικὴν
δίψους· βιβρωσκόμενον δέ, ἕλμινθας πλατείας ἐξά-
γει· καὶ οὖρα ἄγει· ἐχιοδήκτοις καὶ αἱμορροοῦσιν,
ὡς οὐδὲν ἕτερον ἁρμόζει· λαμβανόμενον οἴνου συνε-
χῶς· ἢ σὺν τῷ οἴνῳ λειανθὲν καὶ ποθέν· καταπλά-
σσεται καὶ πρὸς τὰ ταῦτα, καὶ πρὸς τὰ λυσσόδηκτα
ὠφελίμως·~ · περὶ ἐλύμου·

Ἔλυμος· οἱ δὲ ὀλύριον· οἱ δὲ μελίνη· οἱ δὲ καλα-
μόκεγχρον· Ῥωμαῖοι, πανίκουμ· οἱ πολλοὶ μακεδ-
κόκεγχρον· τῶν σιτηρῶν ἐστὶ σωμάτιον, κέγχρῳ

ὅμοιον, ὡσαύτως σιτοποιούμενον· ἡ καὶ πρὸς τὰ αὐτὰ ἁρμόζουσα τῇ κέγχρῳ· ἔστι τροφωτέρα μᾶλλον τυγχάνουσα, καὶ ἧττον στυπτικὴ καθεψομένη :~

περὶ εὐζώμου

Εὔζωμον· ῥωμαῖοι, ἠρούκαμ· αἰγύπτιοι, ἀθρακίγκιν· ἄφροι, ἀσουρηκ· οἱ πολλοί, ῥόκα· ἐπὶ πλέον ἐσθιόμενον, συνουσίαν συνορμᾷ· ὡσαύτως καὶ τὸ σπέρμα αὐτοῦ ἐμπλέτου διαγαρίζει, πινόμενον λεῖον μεθ' ὕδατος θερμοῦ καὶ μέλιτος· καὶ τὸ σπέρμα δὲ αὐτοῦ ποιεῖ οὐρητικὸν ὑπάρχον καὶ πεπτικόν· χρῶνται δὲ τῷ σπέρματι, εἰς τὰς ἀρτύσεις τῶν προσενημάτων· ἀποτίθενται δὲ αὐτὸ πρὸς τὸ πλεῖον ἀναμένειν χρόνου, ὄξει φυρῶντες ἢ γάλακτι· καὶ ἀναπλάττουσι τροχίσκους :~

περὶ ἐρεβίνθου·

Ἐρέβινθος· ῥωμαῖοι, κίκερ· οὐρητικός· εὐκοίλιος· πνευμάτων γεννητικός· εὐχροίας ποιητικός· καταμηνίων ἀγωγὸς καὶ ἐμβρύων· γάλακτος γεννητικός· καταπλάσσεται δὲ μάλιστα σὺν ὀρόβοις ἑφθὸς· πρὸς φλεγμονὰς καὶ μυρμηκίας καὶ ψώρας· τὰ δὲ κηριώδη καὶ κακοήθη ἕλκη σὺν κριθῇ καὶ μέλιτι· καταπλασσόμενος :~

περὶ ἑλενίου·

Ἑλένιον· οἱ δὲ σύμφυτον ἄγριον· οἱ δὲ περσικόν· οἱ δὲ μηδικόν· οἱ δέ, ἰουδαῖον φλόμον· οἱ δὲ ὀρέστιον· οἱ δὲ νεκταρέαν· οἱ δὲ κλαυωνίαν· οἱ δὲ βλτονισίαν· οἱ δὲ ἀλμοίδιον· οἱ δὲ ῥάκοδον· οἱ δὲ ὠπικτίδα· ῥωμαῖοι, τερμινάλιουμ· οἱ δὲ ἰνουλα κάμπανα· αἰγύπτιοι λνίς· φύλλα ἔχει φλόμῳ τῷ στενοφύλλῳ ὅμοια· ἔξωθεν [illegible]· ἔνδοθεν

χλωρά, ὑπόλευκα· τραχύτερα δὲ καὶ ἐπιμήκη·
καυλοὺς δὲ οὐ καθίησιν ἐν τισὶ τόποις· ἐν τισὶ δὲ καθίη-
σι· καὶ ἐπ᾽ ἄκρου φύει κλῶνας· καὶ ἐπ᾽ αὐτοῖς κεφάλια,
ὥσπερ ἐχίνῳ θαλαττίῳ· ἢ βαλανιδίῳ· ἐν οἷς ἄνθη
πορφυρᾶ ὡς τὰ τῆς λευκῆς ἀκάνθης· ῥίζαν ὑπόλευ-
κον ἢ ὑπόκιρρον· ἁλώδη· μεγάλην· δριμεῖαν·
ἐλαφρῶς δὲ τὴν φύσιν καθάπερ ἐπὶ τῶν κρίνων·
λιπαρὰς φυλάδας λαμβάνοντα· γίνεται δὲ ἐν ὀρει-
νοῖς συσκίοις καὶ ἐνύγροις τόποις· ὀρύσσεται δὲ ἡ ῥίζα
θέρους· καὶ ταμνομένη ξηραίνεται· καὶ ἔνα δὲ τὸ ἀφέ-
ψημα αὐτῆς πινόμενον, ἔμμηνα· αὐτὴ δὲ ἡ ῥίζα λα-
μβανομένη ἐν λυκίῳ, μετὰ μέλιτος ἁρμόζει βηξίν· ὀρ-
θοπνοίαις· ῥήγμασι, σπάσμασι· ἐμπνευματώσεσι·
καὶ θηρίων δήγμασι· καθόλου θερμαντικὴ ὑπάρχου-
σα· τὰ δὲ φύλλα αὐτῆς ἐπιπλάττεται ἀφεψηθέντα μετ᾽ οἴ-
νου ἰσχιατικοῖς ὠφελίμως· ἔστι δὲ καὶ εὔστομος, ταρι-
χευθεῖσα ἐν μέλιτι· ξηραίνουσι γὰρ αὐτὴν ἐπ᾽ ὀλίγον
οἱ ἅλμαται· ἢ ἀφεψοῦσιν, ἀποβρέχουσιν ὕδατι
ψυχρῷ· εἶτα ἐμβάλλουσιν εἰς ἀφέψημα, ἀποτίθενται:–

περὶ ἐλελισφάκου

κριοῦ βοτάνη

Ἐλελίσφακον· οἱ δὲ φάκον· οἱ δὲ κιόσηνιν· οἱ δὲ σφάγνον·
οἱ δὲ βήκιον· αἰγύπτιοι, ἀπουσί· ῥωμαῖοι, σάλβια·
οἱ δὲ κορσαλού· οἱ δὲ σάλβιαν· θάμνος ἐστὶν ἐπιμήκης
πολύκλωνος· ῥάβδους τετραγώνους καὶ ὑπολεύκους·
φύλλα, μηλέα κυδώνια παραπλήσια· ἐπιμηκέστε-
ρα· ὡσὰ τρίπτα τῶν ἱματίων, ὑπόλευκα· ἁλώδη·
εὔβρομον τῇ ὀσμῇ· καρποὺς δὲ ἔχει, ἐπ᾽ ἄκρων τῶν καυ-
λῶν ὡς πυρὸν ὁρμίνου ἀγρίου· φύεται ἐν τραχέσι χωρί-
οις· δύναμιν δὲ ἔχει τὸ ἀφέψημα τῶν κλάδων καὶ τῶν φύλλων
πινόμενον· οὖρα ἄγειν· μελαίνει καὶ τρίχας· καὶ τραυμα-

τικὴ ἰσχαιμόν τ' ἐστι· καὶ ἀποκαθαρτικὴ τῶν θηριω-
δῶν ἑλκῶν ἐστίν· παύει δὲ σὺν οἴνῳ τὸ ἀφέψημα αὐ-
τῆς τοὺς κλυζομένους κνησμοὺς τοὺς περὶ τὰ
αἰδοῖα :~ περὶ ἐλαφοβόσκου·

Ἐλαφόβοσκον· οἱ δέ, ἐλάφικον· οἱ δὲ ἀφιζέρδον·
οἱ δὲ ναφρίον· οἱ δὲ ἀφιοκτόνον· οἱ δὲ ἄρπηξ·
οἱ δὲ λύμη· Ῥωμαῖοι, καρβιοκαλοῦμ· οἱ δὲ καρβίλια·
Αἰγύπτιοι, χημίς· Ἀφροὶ ἀσκαουκφού· καυλὸς ἐ-
στὶ λιβανωτίσι ἢ μαράθρῳ ἐμφερής· γεγονατωμένος·
φύλλα, διδακτυλιαῖα ἐπιμήκη ὡς τερμίνθου· πε-
ρικεχαλασμένα πως· ἔχει δὲ παραφυάδας ἱκα-
νὰς ὁ καυλός· σκιάδια δὲ, ἀνήθῳ ἐμφερῆ· ῥίζα
δὲ ἐπιμήκης· πάχος δακτύλου μα· ὑπόλευκος· γλυ-
κεῖα· ἐδώδιμος· λαχανεύεται δὲ ἄρτι φυεὶς οὗτος·
ταύτην φασὶ τὴν πόαν· νεμηθεῖσαι τὰς ἐλάφους,
ἑρπετῶν ἀντέχειν τοῖς τῶν θηρίων δήγμασι· ὅθεν καὶ τὸ σπέρμα,
δίδοται, ἑρπετοδήκτοις σὺν οἴνῳ :~

ἈΡΧῊ ΤΟΥ ΤΟΥ ΖΗΤΑ· ζ·

περὶ σμυρνίου·

Σμύρνιον· οἱ δὲ ἱπποσέλινον· οἱ δὲ ἀγριόλου· οἱ δὲ
σέλινον ἄγριον· οἱ δὲ πολυπίθιον· Ῥωμαῖοι, ὀλυ-
σάθρουμ· οἱ δὲ σεθρόουμ· ἀτὰρ τοῦ κυρίως λεγο-
μένου ζμυρνίου ὡς αὐτίκα ἱστορήσαμεν· ἔστι δὲ μεῖ-
ζον καὶ λευκότερον τοῦ κηπαίου σελίνου· καυλὸς δὲ
κοῖλος· τρυφερός· ὑψηλός· οἷον ἐγγραμμὰς ἔχων·
φύλλα πλατύτερα· ὑποφοινισσόμενα· κόμη με-
στὴ ἀνθοῦς καὶ τὰ κορύμβους· πρὶν ἐξανθῆσαι συνε-
στῶτας· σπέρμα μέλαν· ἐπιμηκέστερον· δριμὺ δὲ ὡς

ματίζων· ῥίζα, λεπτή· δυσώδης· εὔστομος· φύ-
εται ἐν συσκίοις καὶ παραδείσοις· λαχανεύεται
ὡς τὸ σέλινον τὰ φύλλα καὶ οἱ καυλοί ἑφθὰ τὰ καὶ
καθ᾽ αὑτὰ καὶ μετὰ ἰχθύων σκευάζεται· καὶ μό-
νη ταριχεύεται εἰς ἀλμάδα· δύναμιν δὲ ἔχει ὁ καρ-
πὸς πινόμενος οἰνομέλιτι, ἐμμηνίων ἀγωγός· φαρ-
μακεύει τοὺς ῥιγῶντας· πινόμενος καὶ συγχριόμενος,
στραγγουρίας βοηθεῖ· καὶ ἡ ῥίζα δὲ ταὐτὰ ποιεῖν εἴω-
θε.

Περὶ ζωονύχου.

Ζωόνυχον· οἱ δὲ αἰετόνυχον· οἱ δὲ λαγωπόδιον·
οἱ δὲ κῆμος· οἱ δὲ καστανάγκη· οἱ δὲ δαμνομένη·
οἱ δὲ ἰδιόφυτον· οἱ δὲ φυτοβασίλειον· οἱ δὲ κρόαιθου·
οἱ δὲ κροκοδόφθονον· προφῆται, αἷμα κορκοδεί-
λου· οἱ δὲ κροκομάριον· αἰγύπτιοι, δαφνοειδές·
ῥωμαῖοι, μελαρβιουμ· οἱ δὲ νασουσματούς· οἱ δὲ
πλατιουμ· οἱ δὲ ὀφθαλμοῦλα· διδακτυλιαῖον ἐστὶ
βοτάνιον· ἔχον φυλλάρια, ὡς τριῶν ἢ καὶ τεσσάρων
δακτύλων τὸ μῆκος· δασέα· ἀριοδέσχυρα πρὸς
τῇ ῥίζῃ καὶ ὑπόλευκα· ἐπ᾽ ἄκρου δὲ τοῦ καυλί-
κεφάλια ὥσπερ ἀπετετρημένα· ἄνθη μήλινα· ὁ
καρπὸς δὲ αὐτοῦ δυσθεώρητος, διὰ τοῦ περικεχυ-
μένου αὐτῷ χνοῦ· ῥίζα δὲ ὕπεστι μικρά· φασὶ δὲ
ταύτην περιαπτομένην φύματα διαφορεῖν.

Περὶ σμίλακος

Σμίλαξ τραχεῖα· οἱ δὲ ἀπαπήτης· οἱ δὲ λυκάνθαρ-
μον· οἱ δὲ κυνόσβατον· οἱ δὲ δυσίκητον· οἱ δὲ ἡλιόφυ-
τον· οἱ δὲ ἀνατολικόν· οἱ δὲ δυτικόν· οἱ δὲ ἐλίδη·
οἱ δὲ κλύτον· αἰγύπτιοι λεκανάθη· οἱ δὲ κόνγαλον·
ῥωμαῖοι μαργίνα· οἱ δὲ βουλουκρουμελεντουμ· θου-
σκοι, ραδία· τὰ μὲν φύλλα ἔχει, περικλυμένῳ ὅμοια·

Καὶ κλήματα πολλά· λεπτά· ἀκανθώδη ὡς παλι-
ούρος· ἢ βάτος· ἐξίανεῖται δὲ περὶ τὰ ἄκρα
δένδρου καὶ κάτω κεκαμμένη· καρποῦ δὲ φέρει βοτρυ-
οειδῆ ὡς ἀπὸ φυλλίδα· πεπανθέντα, ἐρυθρόν·
ὑποσάνδυκον τα ἠρεμία ἐν τῷ τέλει· ῥίζαν δὲ σκληρὰν·
παχεῖαν· φύεται ἐν τόποις ἑλώδεσι καὶ τραχέσι·
ταύτης τὰ φύλλα καὶ ὁ καρπός, θανασίμων ἐστὶν
ἀντίδοτα προπινόμενα· παραδίδοται δὲ ὅτι αὐ-
τῆς ἀρρήτων παισί· τούτων τι περιάψας σώματα πιδυ,
ὑπ' οὐδενὸς δηλητηρίου φαρμάκου βλαβήσεται·
τάμνος δὲ καὶ εἰς ἀλεξιφάρμακα· ~

ἀρχὴ τοῦ · η ·

περὶ ἠρυγγίου ·

Ἠρύγγιον· οἱ δὲ ἠρύγγιον· οἱ δὲ γοργόνιον· οἱ δὲ ἀκανθῖτις·
οἱ δὲ κάρυον· οἱ δὲ ἁρμοῖον· οἱ δὲ μυρτάκανθον· οἱ δὲ
μῶλυ· Αἰγύπτιοι, κρόβισος· προφῆται σισμαρ-
τὶς τραγοπάζων· οἱ δὲ χρυσάκανθον· Ῥωμαῖοι, καπιτοῦ-
λουμ κάρδους· οἱ δὲ κάρτουρα· οἱ δὲ μουσαία πικάρ-
διους· οἱ δὲ ἰρουμδίν κάρδους· οἱ δὲ κάρδους ἀλ-
βους· Δάκοι, σικουπνούξ· Αἰδῦοι, καὶ ὁ τοῦ καπίτ-
οι δὲ κοῖαρ· οἱ δὲ λαβαννάτα· Ἄφροι, χέρδαν· οἱ δὲ
χίδα· τοῦ ἠρυγγίου ἡ ῥίζα ὕδατι ζεννυμένη, καὶ
πινομένου τοῦ ὕδατος κωλικοὺς παύει· μετὰ δὲ με-
λικράτου ζεννυμένη, λιθιῶντας· στραγγουριῶντας· δυ-
σουριῶντας· νεφριτικοὺς ἀπαλλάσσει· πινέτωσαν
δὲ ἐπὶ ἡμέρας ιε νῆστεις, καὶ εἰς κοίτην· ἀεὶ δὲ καὶ σίτου
σὺν αὐτῷ ζέσας δὲ ὡς πιεῖν κάλλιον ποιεῖ· διαβεβαιοῦ-
ται γάρ τις· ὅτι συνεχῶς χρησάμενος, ἐκ μακροῦ τοῦ ῥησα
πυκνότατα πρόσθεν ἐνοχλούμενος ὑπὸ τοῦ πάθους·

τῶν ἀκανθωδῶν ἐστίν· ἥτις ἐν ἀρχῇ τὰ φύλλα λα-
χανεύεται δὲ ἁλμαῖον συντιθέμενα· ἔστι δὲ πλα-
τέα· τραχέα τοῖς πέριξ· ἀρωματίζοντα τῇ γεύσει·
αὐξόμενα δὲ καταπλεονάσει ἐξοχαῖς καυλῶν· ἐφ᾽ ὧν
καὶ τὰ ἄκρα κεφάλια σφαιροειδῆ· ἀκανθώδεσι περι-
κείμενα ὥσπερ ἀστέρι κυκλόθεν ὀξυτάταις ἐξο-
χαῖς σκληραῖς· ὧν τὸ χρῶμα λευκόν· ἢ χλωρόν· ἢ
κυανοῦν εὑρίσκεται· ῥίζα ἐπιμήκης σφόδρα μέλαι-
να κατὰ τὴν ἐπιφάνειαν· ἔνδοθεν λευκή· δακτύλου
μεγάλου πάχος· καὶ αὐτὴ εὐώδης καὶ ἀρωματίζουσα·
φύεται ἐν πεδίοις καὶ ἐν τραχέσι τόποις· δύναμιν
δὲ ἔχει θερμαντικήν· πινομένη δέ, ἄγει οὖρα· καὶ
ἔμμηνα· καὶ στρόφους· καὶ ἐμπνευματώσεις λύει· ἡ-
πατικούς τε καὶ θηριοδήκτους· καὶ θανασίμοις φάρ-
μαξι· πινομένη πρὸς τὰ πλεῖστα σὺν σταφυλίνου σπέρμα-
τι· δραχμῆς τὸ πλῆθος· ἱστορεῖται δὲ ὅτι περιαπτο-
μένη καὶ καταπλασσομένη, φύματα διαφορεῖ:~

περὶ ἡρακλείου

ιϛ

Ἡρακλείου· ἢ πανκρατίου· οἱ δὲ καὶ τοῦτο σκίλ-
λαν καλοῦσιν· ἄτε δὲ ἀδὴ σκίλλα· ῥίζας δὲ ἔχει βολβῷ
ὅμοια· ὑποπόρφυρος· πικρὰ καὶ πυρώδης πρὸς
τὴν γεῦσιν· φύλλα κρίνῳ ὅμοια ἔχουσα· μακρότερα
δέ· δύναμιν δὲ ἔχει ἡ ῥίζα τὴν αὐτὴν τῇ σκίλλῃ· καὶ
σκευασίᾳ καὶ δόσει ποιεῖ ὅσα ἐπὶ τῶν αὐτῶν παθῶν·
ἐστὶ καὶ συγκρινομένη τῆς σκίλλης ἡ ταύτης δύνα-
μις· ὅθεν καὶ χυλιζομένη ἡ ῥίζα, μίγνυται ὀροβί-
νῳ ἀλεύρῳ καὶ ἀναπλασσομένη τετάρτους, δίδο-
ται σὺν ὑδρομέλιτι σπληνικοῖς καὶ ὑδρωπικοῖς
ὠφελίμως:~

περὶ ἡδυόσμου·

Ἡδύοσμον ἢ μάρου· οἱ δὲ ὄμινθα· οἱ δὲ καλαμίνου·

οἱ δὲ ἐλαιώδης μίνθος· ῥωμαῖοι μέντα· οἱ δὲ μεντάστρουμ·
αἰγύπτιοι τὶς· οἱ δὲ φερθρουμονθου· οἱ δὲ πυργῶ·
οἱ δὲ μάγοι ἦθω· γνώριμον βοτάνιον· δύναμιν ἔχον
θερμαντικήν· ξηραντικήν· ὅθεν αἷμα ἵστησι λαμ-
βανόμενος ὁ χυλὸς μετὰ ὄξους· καὶ ἕλμινθας κτείνει
στρογγύλας· ἀφροδισίας τε ἐρεθίζει· καὶ λυγμοὺς καὶ
ἐμέτους καὶ χολέρας παύει, δύο ἢ τρία κλωνάρια
σὺν ῥοᾶς ὀξείας χυλῷ ποθέντα· διαφορεῖ δὲ καὶ ἀπο-
στήματα μετὰ ἀλφίτου καταπλασθεῖσα καὶ κεφαλα-
λγίαν παρηγορεῖ, ἐπιτιθέντα κατὰ τοῦ μετώπου· μα-
σθούς τε περισταμένους καὶ ἀλγήσιν πραΰνει· σὺν ἅλατι δὲ
καὶ τοῖς κυνοδήκτοις καταπλασσόμενον· ὠταλγίαις τε
ὁ χυλὸς σὺν μελικράτῳ ἁρμόζει· γυναιξὶ δὲ πρὸ
τοῦ πλησιάζειν ἀνδράσι προστεθεῖσα, ἀσυλλη-
ψίαν ἀπεργάζεται· γλῶσσαν τε τραχεῖαν παρατριβομένη
λεαίνει· καὶ γάλα ἄτυρον φυλάττει, ἐναποκειμένη
αὐτῷ· καὶ καθόλου εὐστόμαχον:~

περὶ ἡδυόσμου ἀγρίου.

Ἡδύοσμον ἄγριον· ῥωμαῖοι μένταστρουμ· τὸ δὲ ἄγριον
ἡδύοσμον δασύτερον καὶ πλατύτερον γινόμενον τοῖς
φύλλοις πάντη μεῖζον· σισυμβρίου εὐοσμότερον, τροφω-
δέστερον καὶ ἧττον εἰς τὴν ὑγιεινὴν χρῆσιν, ἐπιτήδειον
ὑπάρχει· αὐθημερῶν φέρον σφαιροειδῆ ὅλον
παρόμοια· ὑποπορφυρᾶ τε καὶ ὑπόλευκα:~

περὶ ἡπατωρίου.

Ἡπατώριον ἢ εὐπατώριον· οἱ δὲ ἡπατῖτις· ῥωμαῖοι
οὐρλουκρουμ μάζοις· αἰγύπτιοι ὀξιθύειν· πόα δέ ἐστι
φρυγανώδης, ῥάβδον ἀναφέρουσα μίαν· λεπτὴν ξυλώ-
δη· ὀρθήν· μέλαιναν· εὔσκιον· πηχυαίαν ἢ καὶ μεί-
ζονα· φύλλα ἐκ διαστήματος ἐσχισμένα· μάλιστα ποῦ δὲ

περὶ τὸ μοῖρ(ον) ἢ καὶ πλείονα· τοῖς τῆς πενταφύλλ(ου)
ἐοικόσι μάλιστα ἐοικότα· καὶ αὐτὰ δὲ μέλανα· περι
ονοστοῦς ἀπόπειρα ἐν τῇ τεμνόμενα· σπέρμα δὲ περι
πέφυκεν ἀναμάσσου τοῦ καυλοῦ ὑπόστασιν· καὶ τῷ
γανθικῶς· καὶ τοῖς ἱματίοις ἐμβάλλεσθαι, ξηρανθέν·
ταύτης τὰ φύλλα μετὰ στέατος ὑείου παλαιοῦ λεανθέντα
ἐπιτεθέντα, τὰς διαστάσεις πούλωται τῶν ἑλκῶν ἰᾶται· τὸ
δὲ σπέρμα καὶ ἡ πόα μετὰ οἴνου πινομένη, δυσεντερικοὺς
καὶ ἡπατικοὺς καὶ ἐκ πνιγμοῦ τὸ σώζει· ἔνιοι ταύτην
ἀρτεμισίαν ἐκάλεσαν πλανηθέντες· ἄλλη γάρ
ὡς ὑπεδείξαμεν:—

περὶ ἡλιοτροπίου· ἡλιοτρ(όπιον) βοτ(άνη)

Ἡλιοτρόπιον τὸ μικρόν· οἱ δὲ, καὶ τοῦτο σκορπιοῦρον
ἐκάλεσαν· ἄλλοι δὲ ἡ σκορπιοῦρος· φύεται ἐν τοῖς
κατοικίαις καὶ παρὰ λίμνας· ἔχον φύλλα, παραπλή
σια τῷ προειρημένῳ· ἢ ὅμοια ἐκείνῳ· πλὴν λειότερα
καὶ στρογγυλότερα· καὶ καρπὸν στρογγύλον ἀποκρεμά
μενον ὡς ἀκροχορδόνας· δύναται δὲ ἡ πόα μετὰ τοῦ
καρποῦ πινομένη σὺν νίτρῳ καὶ ὑσσώπῳ καὶ καρ
δάμῳ καὶ ὕδατι, ἕλμινθας πλατείας καὶ στρογγύλας ἐκ
τινάσσειν· ἀκροχορδόνας καὶ ἀκροχορδόνας, σὺν ἁλσὶ καταπ
λασσομένη:—

περὶ ἡμεροκάλλους·

Ἡμεροκαλλές· οἱ δὲ ἡμεροκαλάκτον· οἱ δὲ κρίνον ἀγρι(ον)·
οἱ δὲ κρινάνθημον· οἱ δὲ πορφυράνθες· οἱ δὲ βολβὸς
ἐμετικός· οἱ δὲ ἀντικάνθαρον· αἰγύπτιοι, ἰουκρυ
ρῶμας, βουλβουμ· οἱ δὲ λιλιουμαγρεστε· οἱ δὲ λι
λιουμ μαρινουμ· ἄφροι, ἀββοιβολαβον· φύλλα ἔχει
καὶ καυλία ὅμοια κρίνῳ· χλωρὰ δὲ ὥσπερ πράσα· ἄν
θη δὲ ἐν αὐτοῖς καθ᾽ ἕκαστον ἀπόφυσιν, τρία ἢ τέσσαρα·
σχίσιν, τῷ κρίνῳ ἐοικότα ὅταν ἄρξηται χάσκειν·

τινὸς δὲ χρόας, ὑπόξανθοι· ῥίζαν ὅμοιον βολβῷ ἐμασί-
θη ἥτις ἀποθετέα σὺν μέλιτι καὶ ἐν ἀρίῳ πρὸς τὰ θέ-
σα πικροῦ τρόπον, ὑστερικοὺς καὶ ἀσθματικούς ἐστιν·
τὰ δὲ φύλλα λεῖα καταπλασσόμενα, φλεγμονὰς μα-
λθάσσει τὰς ἐν τόκοις· καὶ ὀφθαλμοὺς πραΰνει· κατα-
πλασσόμενα δὲ ὠφελίμως ἡ ῥίζα καὶ τὰ φύλλα,
ἐπὶ τῶν πυρικαύστων:—

ΑΡΧΗ ΤΟΥ · Θ

περὶ θέρμου ἡμέρου·

Θέρμος ἥμερος· Ῥωμαῖοι, λουπινοῦμ· Αἰγύπτιοι,
βρεχού· οἱ πολλοὶ τῶν ἀνθρώπων λιπινάρια· γνώριμος·
οὗ τὸ ἄλευρον σὺν μέλιτι ἐκλειχόμενον· ἢ μετ' ὄ-
ξους πινόμενον, ἕλμινθας ἐκτινάσσει κάτω·
καὶ αὐτοὶ δὲ ἀποβραχέντες καὶ ἔμπικροι ἐσθιόμενοι,
τὰ αὐτὰ δρῶσι· καὶ τὸ ἀφέψημα δὲ αὐτῶν τὰ αὐτὰ
ποιεῖ μετὰ πηγάνου καὶ πεπέρεως ποθέν· καὶ σπλη-
νικοὺς ὠφελεῖ· ὡς πόλτημά τι γαγγραίνας· θηριω-
μάτων· ψώρας ἀρχομένας· ἀλφοὺς ἐξανθημάτων· ἀχῶρας·
τὸ δὲ αὐτὸ καὶ καταμηνίων καὶ ἐμβρύων ἀπασπαστικόν,
μετὰ σμύρνης καὶ μέλιτος ἐν προσθέτῳ· καθαί-
ρει δὲ τὸ ἄλευρον χρῶτα· καὶ πελιώματα καὶ φλεγ-
μονάς· πραΰνει δὲ καὶ σὺν ἀλφίτῳ καὶ ὕδατι· μετ' ὄ-
ξους δὲ καὶ ἰσχιάδας παρηγορεῖ· καὶ φύματα· χοιράδας
δὲ καταβάλλει, ἑψηθὲν σὺν ὄξει καὶ καταπλασθέν· καὶ
ἄνθρακα περιρρήσσει· μεθ' ὕδατος δὲ ὀμβρίου ἑψη-
θέντες οἱ θέρμοι, ἄχρι μαθύσεως, σμήχουσι πρό-
σωπον· μετὰ δὲ χαμαιλέοντος τοῦ μέλανος τῆς ῥί-
ζης ἑψηθέντες, προβάτων ψώρας ἰῶνται· ἐγλουό

μένα τῷ ἀφανισμῷ τῆς χλιαρῷ· ἡ δὲ ῥίζα ἑψηθεῖσα σὺν
ὕδατι καὶ ποθεῖσα σὺν οὖρα κινεῖ· οἱ δὲ ἀπογλυ-
κανθέντες λίθοι σὺν ὄξει δὲ ποθέντες, στομάχου ἄ-
σιν θεραπεύουσι· καὶ ἀνορεξίας ἰῶνται :~

περὶ θέρμου ἀγρίου·

Θέρμος ἄγριος· ῥωμαῖοι, λουπινοῦμ ἄγρισεμ· γίνε-
ται δὲ καὶ ἄγριος θέρμος, ἐμφερὴς τῷ ἡμέρῳ· κα-
τὰ πάντα δὲ μικρότερος· ποιῶν ὅσα καὶ ὁ ἥμερος :~

περὶ θυμελαίας·

Θυμελαία· οἱ δὲ πυρὸς ἄχνην καλοῦσιν· οἱ δὲ ἄγριον λί-
βρωτόν· νον· ἐπεὶ ταύτης ὁ ἄγριος κόκκος γίνεται· καρπὸς ὢν αὐτῆς,
συλλέγεται· οἱ δὲ σύροι μὲν ἀπόλινον καλοῦσιν· οἱ δὲ λινοῦ·
διὰ τὸ εἶναι τὰ ἄνθη τῷ λίνῳ τοῦ θάμνου, παρόμοιου
τῇ φύσει· ῥάβδους δὲ ἀνίησι, καλὰς καὶ λεπτὰς ὡς
δυσὶ πήχεις· τὰ δὲ φύλλα, χαμελαίᾳ ὅμοια· πλὴν
στενώτερα καὶ λιπαρώτερα· ὑπόγλισχρα αὐτῷ διαμα-
σᾶσθαι καὶ κολλώδη· ἄνθη ὑπαραιὰ λευκά· καὶ με-
ταξὺ αὐτῶν καρπός, ὡς μύρτον· μικρὸς στρογγύλος·
ἐν ἀρχῇ μὲν χλωρός· αὖθις δὲ ἐρυθρός· τὸ δὲ περὶ
κάρπου, σκληρὸν καὶ μέλαν· τὸ δὲ ἐντὸς λευκόν· ὅ περ
καθαίρει κάτω χολὴν· φλέγμα ὡς εἰκοσικόκκον τὸ ἐν-
τὸς τριφθέν· καὶ ἐπὶ τοῦ φάρυγγα· διό, καὶ μετὰ
ἀλφίτου δοτέον· ἢ ῥαγὸς σταφυλῆς· ἢ μέλιτι ἑφθῷ
περιειλημμένον καταπίνειν· συγχρίεσθαι δὲ καὶ τοὺς δυ-
σουροῦντας, τρίψας μετὰ νίτρου καὶ ὄξους· τὰ δὲ
φύλλα ἀπὸ περὶ σίτου ὡς κνάωρον καλεῖται, συλλέγειν δεῖ
χρὴ περὶ τοῦ πυραμητοῦ, καὶ ἀποτίθεσθαι ξηρά-
ναντα, ἐν σκιᾷ· διδόντα δέ, δὲ κοπτεῦ καὶ ἀναιρεθέντας
ἐν αὐτοῖς ἶνας· καθαίρει δὲ ἐπιπλαττόμενον ὅσον
ὀξύβαφον πλῆθος μετὰ κράμματος, διὰ τῶν ὑδάτων δὲ·

ματέρω τὴν δὲ ποιεῖ τὴν κάθαρσιν, μιχθὲν ἀφεψήματι φα
κῷ· ἢ λαχάνοις τριπτά· ἀποτιθέντας δὲ ἀναληφ
θέντα ὡς φακὸς χυλωθεὶς ἄρτι ὅσιμος· ἄριστος δὲ καὶ εὐ
στόμαχος· προστεθεὶς δὲ ἔμβρυα φθείρει· φύεται
ἐν ὀρεινοῖς καὶ τραχέσι τόποις· πλανῶνται δὲ ὀνομά
ζοντες τοῦ κνιδίου κόκκον, τοὺς χαμαιλέας εἶναι καρ
πούς· ἀπατῶνται δὲ, διὰ τὸ τῶν φύλλων ὁμοιοειδές :–

περὶ θρίδακος ἡμέρου·

Θρίδαξ ἥμερος· οἱ δὲ μαϊούλιον· οἱ δὲ μαρούλιον·
ῥωμαῖοι, λακτοῦκα· αἰγύπτιοι ἐμβρῶσι· ἡ δὲ ἥμε
ρος θρίδαξ, εὐστόμαχος· ὑποψύχουσα· ὑπνωτι
κή· γάλακτος προκλητική· ἑψηθεῖσα δὲ γίνεται
τροφιμωτέρα· ἄπλυτος δὲ ἐσθιομένη στομαχικοῖς ἁρμό
ζει· τὸ δὲ σπέρμα αὐτῆς πινόμενον, τοῖς συνεχῶς
ὀνειρώττουσι βοηθεῖ καὶ συνουσίαν ἀποτρέπει· αὐτὰς δὲ συνεχῶς
ἐσθιομένας, ἀμβλυωπίας εἶναι ποιητικάς· ταριχεύον
ται δὲ εἰς ἅλμην ἐκκαυλιασθεῖσαι· ἀκμάσασαι δὲ πα
ρεμφέρουσι τὴν τοῦ χυλοῦ καὶ ὀποῦ δύναμιν τῆς ἀγρίας
θρίδακος :–

περὶ θρίδακος ἀγρίας·

Θρίδαξ ἀγρία· οἱ δὲ ἱεράκιον· προφῆται αἷμα τιτάνου·
ζωροάστρης, φαρούμβρος· αἰγύπτιοι ἐμβρωσί· ῥω
μαῖοι, λακτοῦκα ἀγρέστις· ἔοικε μὲν τῇ ἡμέρᾳ· καυ
λώδης δὲ ἐστὶ καὶ τοῖς φύλλοις λευκοτέρα· ἰσχνοτέρα
καὶ τραχεῖα αὐτάρκως· πικρὰ τῇ γεύσει· ὁμοίως τὰς δὲ
κατὰ ποσὸν τὴν δύναμιν μηκωνίῳ· ὅθεν καὶ τὸν ὀπὸν αὐτῆς
ἔνιοι, μίσγουσι τῷ μηκωνίῳ· καθαίρει δὲ ὁ μετ' ὀξυμέ
λιτος, ποθεὶς ὁ ὀπὸς σὺν ὀβολοῖς δυσὶν, ὑδατώδη· αὐτῆς
ἄργεμα καὶ ἀχλῦς ποιεῖ· καὶ πρὸς ἐπικαύσεις
χριόμενος σὺν γυναικὸς γάλακτι· ἐστὶ δὲ καθόλου ὕ
πνωποιὸς καὶ ἀνώδυνος· ἄγει δὲ καὶ ἔμμηνα· ποτίζεται

δὲ. Καὶ πρὸς σκορπιοπλήκτους καὶ φαλαγγιοδήκ-
τους· τὸ δὲ σπέρμα ὡς καὶ τὸ τῆς ἡμέρου ποθὲν, ὀνει-
ρωγμοὺς καὶ συνουσίας ἀποστρέφει· ταὐτὰ ποιεῖ καὶ
ὁ χυλὸς· πλὴν ἀσθενέστερον· ἀποτίθενται δὲ
τὸν ὀπὸν ἐν ὀστρακίνῳ ἀγγείῳ προσηλιαζομένων, ὡς
καὶ τὰ ἄλλα χυλίσματα :—

περὶ θαψίας·

θαψία· οἱ δὲ ὑπώπιον· οἱ δὲ πάνακρανον· οἱ δὲ σ-
καμμώνιον· οἱ δὲ θηλυπτερίς· ῥωμαῖοι, φερουλα-
γώ· οἱ δὲ φερουλασιλβατρίς· ἄφροι, βουιδὲν· ὠνόμα-
σται μὲν, θαψία, ἀπὸ τοῦ δοκεῖν τὸ πρῶτον ἐν θάψῳ
τῇ νήσῳ εὑρῆσθαι· ἔστι δὲ ὅλη φύσει ἐοικυῖα νάρθηκι· ἰσχνό-
τερος δὲ αὐτῆς μᾶλλον ὁ καυλὸς καὶ τὰ φύλλα μαράθρῳ ὅμοια·
ἐπ᾽ ἄκρου δὲ σκιάδια καθ᾽ ὗ καὶ ἀπόφυσιν ἀνήθῳ ὁμοία· ἐ-
φ᾽ ὧν ἄνθος μήλινον· σπέρμα ὑπόπλατυ κατὰ νάρθη-
κα· ἔλαττον δέ· ῥίζα μέλαινα· ἔσωθεν λευκή·
μεγάλη· παχεῖα· δριμεῖα· ἥτις ὀπίζεται περιορυχ-
θεῖσα αὐτὴ ἐν ἑαυτῇ βολιχῶς ἡ ῥίζα καὶ σῶμα ζομένη·
πρὸς τὸ καθαρτικώτερον τοῦ τόπου· τῆς δ᾽ ὑστεραίας ἀ-
ποιόντας ἀναιρεῖσθαι αὐτήν· χυλίζεται δὲ κοπτομένη,
ἡ ῥίζα διὰ κυρτίνος ὀργανίου ἐκθλιβεῖσα· καὶ ξηραί-
νεται ἐν ἡλίῳ δι᾽ ὀστρακίνου παχέος ἀγγείου· ὀρύττον-
τας δὲ δεῖ μὴ κατὰ τὸν ἄνεμον ἵστασθαι· μᾶλλον δὲ ἀνηνεμί-
ας οὔσης ἐξαιρεῖσθαι· οἰδεῖ γὰρ ἰσχυρῶς τὸ πρόσωπον
φλυκταινοῦται καὶ τὰ γυμνὰ μέρη διὰ τὴν δριμύτητα
τῆς ἀποφορᾶς· διὸ κηρωτὰς προχρίοντας τὰ γυ-
μνὰ τῶν μερῶν, οὕτω προσέρχεσθαι· δύναμιν δὲ ἔχει
καθαρτικὴν ὁ φλοιὸς τῆς ῥίζης καὶ ὁ χυλὸς· καὶ ὁ κάρ-
πος σὺν μελικράτῳ διδόμενος, ἄνω καὶ κάτω κα-
θαίρων· δίδοται δὲ τῆς μὲν ῥίζης, τριώβολον· τοῦ

δὲ ὁ ποσοῦ ὀβολούς· πλέον δὲ δραχμῆς· κινδυνῶδες· ἀρ-
μόζει δὲ ἡ δι' αὐτοῦ κάθαρσις, πάθεσιν ἀσθματικοῖς·
πλευρῶν ἀλγήμασι χρονίοις καὶ ἀναγωγαῖς· τοῖς δὲ
σπασμοῖς, ἐν σιτίοις ἢ ἐν ῥοφήμασι διδόναι· κάθηται
δὲ καὶ μετὰ τὴν συγκριτικὴν δύναμιν ὅτι ὁ ὀπὸς καὶ ἡ
ῥίζα, πάντων μᾶλλον τῶν ἰσοδυναμούντων· ὅπου
δὲ δεῖ ἐμβάλλεσθαι ὡς κωλύεσθαι ἢ μετὰ ἀποροποιεῖσθαι· ὅθεν
ἄλλως πινόμενος καταχριόμενος ὁ χυλός· ἡ δὲ ῥίζα χλωρὰ
πρὸς τριβομένη δασεῖα· ἀποπάττει ἄσπρα· καὶ
πυλιώματα χάλκη ἡ ῥίζα· ὁ χυλὸς σὺν λιβανωτῷ
ἢ κηρῷ· δεῖ δὲ μὴ πλέον δυοῖν ὡρῶν ἐᾶν· μετὰ τοῦτο
δὲ πυριᾶν θερμῇ θαλάττῃ· ἄσπρα δὲ καὶ ἀφίλλω, σὺν
μέλιτι καταπλασθέντα· καὶ λέπρας ἀφίστησι· φύμα-
τα τε σηρύτια, μετὰ θείου καταχριόμενος ὁ χυλός·
χρησίμως δὲ διαχρίεται καὶ ἐπὶ τῶν χρησίμας ἐχόν-
των τὰς διαθέσεις περιπνεύμονα, ἢ πλευράν· ἢ ἀρ-
θραῖ ἢ ποδάγρας· χρησιμεύει δὲ καὶ ἐπὶ τῶν ἀπαγωγίων·
ἐπὶ τῶν μὴ ἐμπυρίστων λιποθυμιῶν· ~

περὶ θρίδακος ἀγρίας·

Θρίδαξ ἀγρία· οἱ δὲ ἱερακίου· ὁ χυλὸς μετὰ ὀξυμέλιτος
ποθεὶς δυοῖν ὀβολῶν ὁλκαῖς, ὑδατώδη ἄγει· καὶ ἀλ-
γήματα· καὶ ἔμμηνα· καὶ ἀχλύς ποιεῖ· τὸ σπέρμα δὲ
καὶ σκορπιοπλήκτοις καὶ φαλαγγιοδήκτοις τὸ σπέρμα·
ὡς παρ καὶ τὸ τῆς ἡμέρου· ὀνειρασμοὺς καὶ συνουσίας
ἀποστρέφει ποθέν:- περὶ θύμου·

Θύμος· οἱ δὲ θύμβρος ἄγριος· οἱ δὲ θύμιον· οἱ δὲ θύμ-
βρα λευκός· οἱ δὲ θύμος κεφαλωτός· οἱ δὲ ἐπιθυμίς· Ῥω-
μαῖοι, θυμμοῦμ· Αἰγύπτιοι, σαφανίς· κοιναῖς μα-
τζουνιό, θρύμβος· γνωστὸς θαμνίσκος· φρυγα-
νώδης· φυλλαρίοις στενοῖς καὶ πολλοῖς περιειλημμένου·

ἔχων ἐπ᾽ ἄκρου κεφάλια ἄνθους, ἐπιπορφυρίζοντα·
μάλιστα δὲ φύεται ἐν πετρώδεσι τόποις καὶ λυπροῖς·
δύναμιν ἔχει πινόμενος μετὰ ἁλῶν καὶ ὄξους ἄγειν
φλέγματα διὰ κοιλίας· τὸ δὲ ἀφέψημα αὐτοῦ μετὰ μέ-
λιτος· ὀρθοπνοϊκοῖς βοηθεῖ· ἕλμινθάς τε ἐξάγει·
καὶ ἔμμηνα καὶ ἔμβρυα καὶ δευτέρια· ἔστι δὲ καὶ
οὐρητικόν· μιγὲν δὲ μέλιτι καὶ ἐκλειχθὲν, ἀναγωγὰς
τὰς ἐκ θώρακος ποιεῖ· οἰδήματα δὲ πρόσφατα καὶ
θρόμβους αἵματος διαφορεῖ· καὶ θύμους καὶ ἀ-
κροχορδόνας αἴρει· ἰσχιαδικοῖς σὺν οἴνῳ καὶ ἀλφίτῳ
ἐπιτιθέμενος ὠφελεῖ· ἀμβλυωποῦσι δὲ ὠφελεῖ ἐ-
σθιόμενον ἐν τροφῇ· εὔχρηστον καὶ εἰς τὴν ἐν ὑγείᾳ
χρῆσιν ἐν τῇ ἀντὶ τύρου ἀρτύματος· καὶ μᾶλλον ἡ θύμ-
βρα:~

περὶ θύμβρας·

θύμβρα· οἱ δὲ, ὀρεινή· οἱ δὲ προβάτειος· οἱ δὲ σμί-
τιος· τὰ αὐτὰ ποιεῖ ὅσα καὶ ἡ προειρημένη:~

οἱ δὲ ὀρίγανον ἄγριον· οἱ δὲ κύρατον· ῥωμαῖοι,

περὶ θαψίας·

θαψία· οἱ δὲ ὑπώπιον· οἱ δὲ πάγκρανον· οἱ δὲ συκαμ-
μώνιον· ἀοικανάρθι καὶ· δύναμιν ἔχει ὁ φλοιὸς τῆς
ῥίζης καὶ ὁ χυλὸς καθαρτικήν· ὁ ὀπὸς σὺν μέλιτι κρά-
τῳ διδόμενος· ἄνω καὶ κάτω καθαίρει· δίδοται δὲ
μετὰ τῆς ῥίζης, τετρόβολον· τοῦ δὲ ὀποῦ, ὀβολός·
πλείονα δὲ κινδυνώδη· ἁρμόζει δὲ ἡ διὰ τούτου κάθαρ-
σις, ἀσθματικοῖς· πλευρῶν ἀλγήμασι χρονίοις καὶ
ἀνατωτάσεις· ὁ χυλὸς ποιεῖ ἀλωπεκίας καταχριόμενος:~

περὶ θλάσπεως

θλάσπι· οἱ δὲ, θλασπίδιον· οἱ δὲ σίνηπι περσικόν· οἱ
δὲ μύϊτιν· οἱ δὲ βύτρον· ῥωμαῖοι, σκανδουλάκι-
ουμ· οἱ δὲ, καπιτάλλα· οἱ δὲ σίνηπι ἄγριον· οἱ δὲ ἄδας
μονόφων· τὸ δὲ θλάσπι, βοτάνιόν ἐστι ἐν τοῖς φύλλ,

ὡς δακτύλου τὸ μῆκος πεπτωκός ἐπὶ τῆς γῆς ἀκροσχι
σχίσιν ὡς ζώματα· καυλὸν δὲ λεπτὸν ἀνίησι σπιθα
μιαῖον· ἀποφυάδας ὀλίγας ἔχοντα περὶ ὅλον αὐτὸν καρ
πὸς ὑπόπλατυς ἐξ ἄκρου· ἐν ᾧ σπερμάτιον ὅμοιον
καρδάμῳ· σκωληκοειδές· οἷον ἐπιτεθλασμένον· ἐξοῦ
καὶ τὸ ὄνομα ἔσχηκεν· ἄνθος ὑπόλευκον· φύεται
ἐν ὁδοῖς καὶ τάφροις· τὸ δὲ σπέρμα αὐτοῦ, δριμεῖαν
μὲν ἔχει δριμύτητα καὶ θερμαντικόν· χολὴν ἄνω τε
καὶ κάτω καθαίρει ποθὲν πλῆθος ὀξυβάφου·
ἐγκλύζεται δὲ καὶ πρὸς ἰσχιαδικούς· ἄγει δὲ καὶ αἷμα
ποθέν· καὶ τὰς ἐντὸς ἀποστάσεις ῥήγνυσι· κινεῖ δὲ
καὶ τὰ καταμήνια καὶ ἔμβρυα φθείρει:~

περὶ θηλυπτερίδος·

ρωμαῖοι λίτσουα καρβίνα·

Θηλυπτερίς· ἢ δὲ νυμφαία πτερίς· τὰ φύλλα ἔχει πτερί
ῳ ὅμοια· πολλὰς ἔχουσα ῥιζόθεν ἀποφύσεις· ῥίζας
πλατείας τριχοειδεῖς· μακράς· ὑποξάνθους· αἵτινες
ἑψόμεναι ἐν ἐλαίῳ λαμβανόμεναι, πλατείας ἕλμιν
θας ἐκβάλλουσι· σὺν οἴνῳ δὲ πινόμεναι τριωβόλου πλῆθος,
στρογγύλας ἕλμινθας ἐκβάλλουσι· γυναῖκες δὲ ἐὰν πίωσι, ἀ
συλληψίαν ἐργάζονται· κἂν ἔγκυος λάβῃ, ἐκτιτρώ
σκει· ξηρὰ δὲ ἐπὶ τῶν σφακέλων καὶ καθύγρων ἑλκῶν
ἐπιπάσσοντες· λαύφους τῶν ὑποζυγίων αὐτάς:~

⁘ ἀρχὴ τοῦ ἰῶτα ⁘

περὶ ἱππολαπάθου·

ρωμαῖοι ρουμὲξ ρούστικα·

Ἱππολάπαθον· οἱ δὲ λάπαθον ἄγριον· ἑψηθὲν καὶ βρω
θέν, κοιλίαν μαλάσσει· λάπαθον ἐστὶ μέγα ἐν ἕλεσι γενό
μενον· καὶ κατὰ πάντα ὅμοιον καὶ τὸ σχῆμα τῷ μικρῷ
λαπάθῳ· ὠμοῦ δὲ καταπλασσόμενον, μελικηρίδας
σὺν χρόνῳ διαφθείρει· αἱ ῥίζαι αὐτοῦ ἑφθαί

σὺν ὄξει καὶ ὠμαὶ καταπλασθεῖσαι θεραπεύουσι
λέπρας· λειχῆνας· ὄνυχας λεπρούς· δεῖ δὲ πρὸς ἀνα-
τρίβειν τούτου που ὄξει· πραΰνει δὲ καὶ κνησμοὺς τὸ ἀ-
φέψημα αὐτῶν περιαντλούμενον· παρηγοροῦσι δὲ
καὶ ὀδονταλγίας σὺν οἴνῳ ἑψηθεῖσαι καὶ διακλυζόμεναι·
καὶ χοιράδας καὶ παρωτίδας καὶ παρωτίδας ἀφεψηθεῖσαι σὺν
οἴνῳ καταπλασθεῖσαι διαφορεῖ· πολλώσας δὲ σὺν ὄξει
καὶ ἐν δράματι τινὲς χρῶνται τῇ ῥίζῃ πρὸς χοιράδας·
καὶ περιάπτουσι τῷ τραχήλῳ· ἵστησι δὲ καὶ ῥοῦν γυναι-
κείου λευκὰς προστιθεῖσαι· ἀφεψηθεῖσαι δὲ σὺν οἴνῳ
καὶ πινόμεναι, ἰκτέρους ἀποκαθαίρουσι· καὶ
λίθους τοὺς ἐν κύστει θρύπτουσι· ἔμμηνά τε ἄγουσι·
καὶ σκορπιοπλήκτους βοηθοῦσι :~

περὶ ἱππομαράθρου·

Ἱππομάραθρον· οἱ δὲ μαραθρίς· οἱ δὲ μάραθρον ἄ-
γριον· Αἰγύπτιοι σαμψοῦθ, προφῆται θυμάρνολι·
Ῥωμαῖοι, φαινουκλοῦμ ἐρρατικοῦμ· οἱ δὲ φαινο-
κλούς· οἱ δὲ κουΐνοις· οἱ δὲ μιοῦμ· Γάλλοι σιστραμιόρ·
ὅμοιον ἐστὶ κάχρυϊ· οὗτινος ἡ ῥίζα ποθεῖσα, θη-
ριοδήκτοις βοηθεῖ· καὶ λίθους θρύπτει· καὶ ἴκτερον
ἀποκαθαίρει· τοῦ δὲ φύλλου τὸ ἀφέψημα πινόμε-
νον, γάλα ἄγει· καὶ τὰς ἐκ τοκετοῦ γυναῖκας ἀποκα-
θαίρει :~

περὶ ἱππούρεως·

Ἵππουρις· οἱ δὲ τριμάχιον· οἱ δὲ ἀνάβασις· οἱ δὲ χαρά-
δρανον· οἱ δὲ γρῶ· οἱ δὲ ἐχινόστροφον· οἱ δὲ ἐφέδρα·
οἱ δὲ ἵππιον ἄνδρος· Ῥωμαῖοι ἐκουινάλις· οἱ δὲ σελυξέκι-
τίναλις· φύεται ἐν ἐφύδροις καὶ τάφροις καὶ τραχέσι
τόποις· καυλοὺς ἔχουσα κενοὺς ὑπερύθρους· τρα-
χεῖς· γόνασι διειλημμένους· περὶ δὲ αὐτοὺς κόμας ἔ-
χουσα πολλάς· μέλανας καθάπερ ἵππου οὐρά· ῥί-

ζα ξυλώδης στυπτική· τῆς ῥίζης ὁ χυλός, αἱμορραγίας ἵστησι τὰς ἐκ μυκτήρων· καὶ δυσεντερικοῖς ὠφελεῖ πινόμενος μετ' οἴνου· καὶ ὕδατι καὶ οὖρα· τὰ δὲ φύλλα τραύματα ξύσματα ἰᾶται ἐπιπλαττόμενα· ἡ δὲ ῥίζα καὶ ἡπατικοῖς· βήσσουσι τοῖς καὶ ὀρθοπνοϊκοῖς· καὶ ῥηγματίαις δίδοται· ἱστορεῖται δὲ καὶ ἐν τῷ ξδι ασφώδες· καὶ ὁ κισσὸς διάκοπτει· καὶ ἐντεροκήλαις σκευάζεται τὰ φύλλα πινόμενα ὕδατι :~

περὶ ἱππούριδος ἑτέρας. ,β

Ἵππουρις ἑτέρα ἡ μικρά· οἱ δὲ ἀκίτιον· οἱ δὲ χάσρ· οἱ δὲ τεινών· ῥωμαῖοι, σάλιξ ἀκυΐνουσ· ἥτις καὶ αὐτὴ τὰ τραύματα ἰᾶται καὶ ἐπὶ τῶν ἄλλων δὲ τὴν αὐτὴν ἔχει δύναμιν :~

Ἱππόφαες· οἱ δὲ, ἀχίνιον· οἱ δὲ ἱπποφανές· οἱ δὲ ἵππιον· οἱ δὲ πελεκῖνος· ῥωμαῖοι, λαππάγω· οἱ δὲ λαπτολάχμαρα· θάμνος ἐστὶ φρυγανώδης πυκνὸς ἀμφιλαφής· ἄνθη κορύμβοις ἐοικότα ἀνήθου· βοτρυώδη ὑποφοίνισσα· ῥίζα παχεῖα καὶ μαλακή· ποιεῖ· γίνεται χύλισμα τῆς ῥίζης καὶ τῆς πόας ὡς ἐπὶ τῆς θαψίας· δίδοται L τούτου πρὸς τὰς καθάρσεις· ὡς γνάπτουσι τὰ ἱμάτια· φύεται ἐν παραθαλασσίοις καὶ ἀμμώδεσι τόποις· φύλλα ἔχων μακρὰ πρὸς τὰ τῆς ἐλαίας στενότερα καὶ μαλακώτερα· ὀπίζεται δὲ ἡ ῥίζα ὥσπερ ἡ θαψία· ἀποτίθεται δὲ καθ' αὐτὸ ὁ ὀπός· καὶ σὺν ὀροβίνῳ ἀλεύρῳ ἀναλαμβανόμενος καὶ ξηραινόμενος· καθαίρει δὲ χολώδη· φλέγματώδη κάτω· ὀβολὸς ἀκάθαρσος· τοῦ δὲ μετὰ τοῦ λευκοῦ τετρώβολον σὺν μελικράτῳ :~

περὶ ἴρεως.

Ἶρις· οἱ δὲ ἶρις ἰλλυρική· οἱ δὲ θελπήλη· οἱ δὲ ὀσμία· κοινῶς κρῖνον ὀξύ· οἱ δὲ καθαίρουσα· οἱ δὲ θαυμασίς·

ῥωμαῖοι ῥάδιξ μουρίκα· οἱ δὲ γλαδίολα· οἱ δὲ ὀ-
περτρίτης· ὠνόμασται δὲ ἶρις ἀπὸ τῆς κατὰ τὸν οὐρανὸν ἐμ-
φερείας ἴρεως· ἢ τοῦ τόξου· αὐτῆς ἡ ῥίζα τμηθεῖσα
ξηραίνεται ἐν σκιᾷ· καὶ λίνῳ διαπαρεῖσα ἀποτίθε-
ται· πολλοὺς οὖν μῆνας δὲ πᾶσαι αἱ ῥίζαι τερηδονίζον-
ται· θερμαντικὴν ἔχουσι δύναμιν· ἐφήλεις καθαί-
ρουσι καὶ φακοὺς καὶ τὰ πλασσόμενα μετ᾽ ἐλλεβόρου
λευκοῦ διπλασίονος· ἐκσμηχοῦσι· καὶ τὰ δυσαλθῆ
γὰρ τοῦ ὕδρωπος λεπτύνουσι· καὶ φθοροποιὸν δύνα-
μιν ἀναλαμβάνουσι ποτιζόμεναι μεθ᾽ ὑδρομέλι-
τος:~

περὶ ἴου·

Ἴον πορφυροῦν· οἱ δὲ κυβελεῖον· ῥωμαῖοι σατιολλίς·
οἱ δὲ μουρραρία· οἱ δὲ βιόλα πορπουρέα· φύλλον ἔ-
χει κισσοειδὲς· μικρότερον δὲ καὶ λεπτότερον· καυλί-
σκα ἀπὸ τῆς ῥίζης· ἐφ᾽ ὧν ἄνθη μικρά· εὐώδη· πορ-
φυρᾶ· φύεται ἐν παλισκίοις καὶ τραχέσι τόποις·
δύναμιν ἔχουσι ψυκτικὴν· τὰ φύλλα καὶ τὰ πλασσόμενα
καθ᾽ αὐτὰ καὶ μετὰ ἀλφίτων· βοηθεῖ δὲ καὶ στομά-
χῳ καυσουμένῳ· καὶ ὀφθαλμῶν φλεγμοναῖς· καὶ
τὰς τῆς ἕδρας προπτώσεσι· φασὶ δὲ τὸ πορφυρί-
ζον τοῦ ἄνθους μεθ᾽ ὕδατος ποθὲν· συνάγχαις
βοηθεῖν· καὶ ἐπιληψίαις ταῖς ἐπὶ παίδων:~

περὶ ἱερακίου·

Ἱεράκιον τὸ μέγα· οἱ δὲ σόγχιτιν· οἱ δὲ ἰντύβον ἄγριον· ῥω-
μαῖοι λαμπούκα πρατίνα· ἄφροι στηθλυσάδα· καυ-
λὸν ἀνίησιν ὑπέρυθρον· τραχύν· ἀκανθώδη· ὑπό-
κενον· φύλλα ἔχει ἀπεσχισμένα ἐκ διαστημάτων·
ἀραιῶς· σόγχῳ ἐμφερῆ περιφέρειαν· ἄνθη μήλι-
να· ἤτοι κίτρινα· ἐν κεφαλίοις ὑπομήκεσι· δύνα-
μιν ἔχει ψυκτικὴν· μετρίως ὑποστύφουσαν· ὅθεν

στομάχῳ καυσουμένῳ καὶ φλεγμοναῖς καταπλασσό-
μενον ἁρμόζει· ὁ δὲ χυλὸς καταρροφούμενος, δη-
μοὶ στομάχου πραΰνει· ἡ δὲ πόα σὺν τῇ ῥίζῃ καταπ-
λασθεῖσα, σκορπιοδήκτοις ἀρήγει:~

περὶ ἱερακίου τοῦ μικροῦ

ῥωμαῖοι ιν τουβουλα γρασιν·

Ἱεράκιον τὸ μικρόν· ἰσόγαβρον· οἱ δὲ φασήλιον· ἴσω-
που φύλλα ἔοικεν· ἀγρίας θριδακίνης μικρότερα μέν τοι
ἐπὶ σχιδῆ ἀπὸ τῆς κορυφῆς τοῦ καυλοῦ κεφαλὰς μικράς·
σπερματίων πλήρεις· μακρὰ ἄνθη ὁμοίας τῇ ἰσάτιδι·
τούτου τὸ σπέρμα πινόμενον σὺν μελικράτῳ· τοῖς πε-
ρὶ θώρακα καὶ βῆχα καὶ ἀσθματικοῖς ἁρμόζει:~

περὶ ἰσάτιδος·

Ἰσάτις ἥμερος· οἱ δὲ αὔγιον· οἱ δὲ ἀγνή· οἱ δὲ λουλά-
κιν· ῥωμαῖοι, ... προφῆται ἀρούσιον· ἰσάτις
ἧς οἱ βαφεῖς χρῶνται· ἀρνογλώσσῳ ἐμφερές· λιπα-
ρώτερον δὲ καὶ θελαίτερον· καυλὸν δὲ ὑπὲρ δίπη-
χυν· ἄνθος ὡς λαπάθου, πορφυροῦν· δύναται
τὰ φύλλα καταπλασσόμενα, πᾶν οἴδημα διαφορεῖν·
καὶ ἐν αἵματα κολλᾶν· αἱμορροίας στέλλειν· καὶ φα-
γεδαίνας, στέλλει καὶ σηπτικὰ καὶ ἄρτι πιλάται:~

περὶ ἰσάτιδος ἀγρίας·

Ἰσάτις ἀγρία· οἱ δὲ ἀγνὴ μικρά· οἱ δὲ λουλάκιν· ῥωμαῖοι,
ροῦταμ μινορεμ· αὕτη ἡ μὲν ἄλλα πλ(ατ)· φύλλα
ἔχει ὡς θριδακίνης· καυλοὺς λεπτούς· πολυσχιδεῖς·
ὑπερύθρους· ἔχοντας ἀπ' ἄκρων ὥσπερ θυλά-
γλωσσο κια ~~κατωδ~~ ... · πολλὰ ἀποκρεμάμενα· ἐν οἷς τὸ σπέρ-
μα· δύναται δὲ τὰ αὐτὰ τῇ πρὸ αὐτῆς· ὠφελεῖ δὲ
καὶ σπληνικοῖς πινομένη καὶ καταπλασσομένη:~

ἀρχὴ τοῦ κα΄ πιδ·

περὶ κενταυρίου·

Κενταύριον τὸ μέγα· οἱ δὲ νάρκην· οἱ δὲ μαρώνιον· οἱ
δὲ λημνήσιον· οἱ δὲ πληκτρονίας· οἱ δὲ χειρώνιον·
οἱ δὲ λημνηστίς· ῥωμαῖοι, φιάρρι· οἱ δὲ οὐνίφαρα·
οἱ δὲ φέλταρας· φιλεῖ τὸ τοιοῦτον εὐφύειν ἐν εὐγέ-
οις τόποις καὶ εὐηλίοις καὶ ἐν δρυμοῖς καὶ γεωλόφοις·
διὰ δὲ τὸ τὸν κένταυρον τὸ πάρος εὑρηκέναι πρῶ-
τον, οὕτω κατωνόμασαν· φύλλα ἔχει, καρύᾳ που
τινὰ παραπλήσια· προμήκη· χλωρὰ περιτετμη-
μένα ὡς πρίων· καυλὸν ὡς λαπάθου δίπηχυν·
παραφυάδας ἀπὸ τῆς ῥίζης πολλάς· κεφαλὰς ὁμοί-
ας μήκωνι προμήκεις· ἄνθος κυανοειδὲς· μασ ἡ χυλὸ-

καρπὸς ὅμοιος κνίκῳ· ἐνειλημμένος ὥσπερ ἐν ἐριώδεσι τοῖς ἄνθεσι· ῥίζα παχεῖα· στερεά· μακρὰ ἐρυθρά·

κ. μόσχ[illegible] κροκίζων ἐπὶ τὸ ἐρυθροῦ·

δρια ἁρμόζει δὲ ἡ ῥίζα ἐρυθρὰ οὖσα ῥήγμασι· πλευ-
ριτικοῖς· δυσπνοίᾳ· βηχὶ παλαιᾷ· σπάσμασιν· ὑ-
αἱμοπτοϊκοῖς δὲ ἀπυρέτοις μετ' οἴνου· πυρέσσουσι
μεθ' ὕδατος δραχμαὶ β· ἢ τῆς ῥίζης λείας διδόμεναι·
καὶ πρὸς στρόφους ὁμοίως καὶ ὑστερικὰ ἀλγήματα· ἀ-
γει δὲ καὶ ἔμβρυα· χῦμα κολλητηρίου ξυσθὲν δὲ καὶ
προστεθὲν δὲ τῇ ὑστέρᾳ· ὁ δὲ χυλὸς ταυτὰ ποιεῖ· ἀσ-
δεῖ καὶ τραχωματικῇ· ἡ δὲ ῥίζα κοπεῖσα· ξηρὰ δὲ
πεοβραχεῖσα καὶ οὕτω κοπεῖσα, συνάγει καὶ κολλᾷ· καὶ
τὰ [illegible] κρέα συνάγει, ἐάν τις αὐτῷ ἑψοῦντας
συναψήσῃ· οἱ δὲ ξυλικὰ χυλίζουσι, χρῶνται αὐτῷ
χυλῷ τε :—

περὶ κενταυρίου τοῦ μικροῦ·

Κενταύριον τὸ μικρόν· οἱ δὲ λιπόφυλλον· οἱ δὲ λιμνήσιον·
οἱ δὲ ἀλκιβορίτης· οἱ δὲ ἀμάραντον· ῥωμαῖοι, φε-
βριφουγιάλης· οἱ δὲ ἀβραμουλτιζάδιξ· δάκοι, του-
ρμύλα· λιμνήσιον λέγεται, ἐπειδὴ εὔϋγρον φιλεῖ τό-
πους· πόα ὑπερικῷ ἢ ὀριγάνῳ ὁμοία· καυλὸν ἔχει

ται ὑπὲρ ἀσιθαμνῶ· φύλλα πικρά· μικρά· ὑπο-
μήκη ὡς πηγάνου· ἄνθη ὑποπόρφυρα· πρὸς τὰ
τῆς λυχνίδος· ῥίζα ἄχρηστος· ἡ πόα κοπτομένη,
τραυμάτων ἐστὶ κολλητικὴ καὶ δύναμιν θαλπτική· ἀλ-
κῶν ἐπαλλασσῶν καὶ ἀπουλωτική· ἀφέψημα δὲ ταύτης
καὶ καταπινομένη ἄγει κάτω χολώδη καὶ πα-
χέα ἐν κλύσμασι· ῥίζα γὰρ αὐτῆς ἄχρηστος· τὸ
δὲ ἀφέψημα αὐτῆς τῆς πόας πινόμενον, ἀπὸ χαλ-
κιτικῶν ἁρμόδιον· ὄγκων αἱματικῶν κουφίζων· ὁ
δὲ χυλὸς πρὸς τὰ ὀφθαλμικὰ εὔχρηστος ἀποκα-
θαίρων τὰ ἐπισκοτοῦντα ταῖς κόραις· σύμμικ-
τος δὲ πρὸς πηθάς, ἐμμένων ἄτωτος καὶ ἐμβρύων·
ποθεὶς τὰ ἁρμόζει τοῖς περὶ νεφρὰ πάθεσιν ἰδίως
χυλίζεται δὲ ἡ πόα αὐτῆς ὅτε μὲν σπερματίζει· καὶ ἀπο-
βρεχομένη ἐπὶ ἡμέρας πέντε· εἶτα κατατεμνομένη, ἄχρις
ἂν ὑπεράρχει τὸ ὕδωρ· εἶτα ἐκτιθεμένη, χυλίζεται·
διὰ ὀθονίου ἐκθλίσει τῆς πόας· καὶ πάλιν ἕψεται
μέχρι μελιτώδους συστάσεως· ἔνιοι δὲ χλωρὰν
ἐπιτέμνοντες αὐτὴν κόπτοντες ἐκθλίβουσι τὸν χυλόν·
καὶ βάλλοντες εἰς ὀστράκινον ἀγγεῖον ἀκόνητον, ἐν
ἡλίῳ συστρέφουσι· κινοῦντες ξύλῳ· τὸ περι-
πηγνύμενον· ὑποξύοντες καὶ τῷ ὑγρῷ μιγνύντες·
συμπάζοντας νυκτὸς ἀπομαλακῶς· ἡ γὰρ δρόσος κωλυ-
τικὴ τῆς τῶν χυλῶν συστάσεως καθέστηκε· ὁ δὲ
μὲν οὖν ἀνεξηραμένων τῶν ῥιζῶν ἢ βοτανῶν χυλίζεται
ὡς ἡ γεντιανή· ὁ δὲ ἐκφλοιωθέντων ὑγρῶν ἢ ῥιζῶν ἢ βο-
τανῶν ἐκθλιβόμενος, ἐν ἡλίῳ συστρέφεται ὡς προ-
είρηται· οὕτως θαψίας· καὶ μανδραγόρου· καὶ ὀμφακί-
ου· καὶ τὰ ὅμοια τούτοις χυλίζεται· λύκιον μέν τοι
καὶ ἀψίνθιον· ὑποκυστίς· καὶ παρόμοια τούτοις, ἀπό

μήσους τραφεῖσαι οὐ παρὰ τρόπου προσαρτῆσαι :~

περὶ κοτυληδόνος.

Κοτυληδών· οἱ δὲ σκυτάλιον· οἱ δὲ κυμβάλιος· οἱ δὲ κῆπος ἀφροδίτης· οἱ δὲ στρογγύλον σύμφυτον· οἱ δὲ γῆς ὀμφαλός· οἱ δὲ στοιχίς· οἱ δὲ στάργηθρον· ῥωμαῖοι οὐμβιλικοῦμ βενέρεις· φύλλα ἔχει ὡς παρ' ὀξυβάφου περιφερῆ· βουκινοειδῆ· λαλη θώδη· κοῖλον· καυλοὺς δὲ ἐν μέσῳ· ἐν ᾧ τὸ σπέρμα· ῥίζα ὡς ἐλαίας στρογγύλη· εὐχερά· ταύτης τῆς ῥίζης καὶ τῶν φύλλων ὁ χυλὸς μετ' οἴνου περιχριόμενος· ἢ ἐγκλυζόμενος, φυμοὺς τοὺς ἐν αἰδοίοις· χολὰς· φλεγμονάς· καὶ ἐρυσιπέλατα· καὶ χιμέθλας καὶ χοιράδας καταπλαττόμενον ὠφελεῖ· καὶ στόμαχον καυσούμενον· ἐσθιόμενα δὲ τὰ φύλλα σὺν τῇ ῥίζῃ, λίθους θρύπτει καὶ οὖρα κινεῖ· καὶ ὑδρωπικοῖς σὺν οἰνομέλιτι δίδοται· χρῶνται δὲ αὐτῇ καὶ εἰς φίλτρα :~

περὶ κοτυληδόνος ἑτέρας.

Κοτυληδὼν ἑτέρα· τὰ αὐτὰ ποιεῖ ὅσα καὶ ἡ πρὸ αὐτῆς καὶ τὰ μάτια ἀδάζωνου :~

περὶ κυκλαμίνου.

Κυκλάμινος· οἱ δὲ κισσάνθεμον· οἱ δὲ κισσόφυλλον· οἱ δὲ χελώνιον· οἱ δὲ ἰχθυόθηρα· οἱ δὲ κυλλώνη· ζωρόαστρις τρυμφαλίτις· ῥωμαῖοι, ῥαποῦμ τέρρας· οἱ δὲ, οὐμβιλοῦκουμ τέρρας· οἱ δὲ ῥαποῦμ, πορκινοῦμ· οἱ δὲ, θυρβηλοῦμ· φύλλα ἔχει ὅμοια κισσοῦ· ποικίλα κάτωθεν καὶ ἄνωθεν· καυλία, τετραδακτυλιαῖα· γυμνά· ἀφ' ὧν ἄνθη λευκοπορφυρᾶ· ῥίζαν ὁμοίαν γογγυλίδι· μέλαιναν· ὑπόπλατον ἢ κρομμύῳ· ἥτις ῥίζα ποθεῖσα σὺν ὑδρομέλιτι ἄγει φλέγματα καὶ ὕδωρ κάτω· καὶ ἔμμηνα δὲ κινεῖ προστιθεμένη· φασὶ δὲ καὶ τὸν

ὑπερβῇ τὴν ῥίζαν ἐάν τις γυνὴ, ἐξαμβλώσκειν
αὐτήν· ἔστι δὲ καὶ ὠκυτόκιον περιαπτομένη· πίνεται
δὲ καὶ πρὸς τὰ θανάσιμα φάρμακα τοῦ οἴνου· καὶ μάλιστα πρὸς
λαγωὸν θαλάσσιον· καὶ κατὰ τούτων ἐστὶν ἀντιφάρμακον·
καταπλαττομένη· μεθύσκει δὲ μιχθεῖσα οἴνῳ· κα
θίστησι δὲ καὶ ἰκτέρους ποθεῖσα πλῆθος ∠ γ΄, μετὰ
γλυκέος ὕδατος· ἢ μελικράτου· κατακλίνεσθαι δὲ δεῖ
ἐν οἴκῳ θερμῷ τοὺς πίνοντας, καὶ πλείοσιν ἱματίοις πε
ριβάλλεσθαι ὅπως ἱδρώσωσι· ὁ δὲ ἀποκρινόμενος ἱδρὼς,
εὑρίσκεται χρόα χολώδης· ἐγχυματίζεται δὲ ὁ χυλὸς
αὐτῆς εἰς τὰς ῥῖνας, καὶ πρὸς κάθαρσιν κεφαλῆς·
καὶ πρὸς τοὺς ὑποκεχυμένους καὶ ἀμβλυωποῦν
τας ἐγχριόμενος ὁ χυλὸς μετὰ μέλιτος ὠφελεῖ· μί
γνυται δὲ καὶ εἰς τὰ φθόρια· ἕδραν τε προπεσοῦ
σαν, σὺν ὄξει καταχριόμενος ὁ χυλὸς καθίστησι· χυ
λίζεται δὲ ἡ ῥίζα κοπτομένη καὶ θλιβομένη· ἕψεται
δὲ ἄχρι μελιτώδους συστάσεως· ἐντίθεται δὲ καὶ χρῶ
ται ἡ ῥίζα· καὶ ἐξανθήματα καὶ τραύματα κατα
στέλλει μετὰ τοῦ μέλιτος καὶ καθ᾽ αὑτὴν καταπλαττομένη,
καὶ σπλῆνα τήκει· ἰᾶται δὲ καὶ ἀφήλιν καὶ ἀλωπεκίαν·
ὠφελεῖ καὶ πρὸς τραύματα καὶ ποδάγρας· καὶ τὰ ἐν
κεφαλῇ ἀλκύδρια καὶ χιμέθλας· φύεται δὲ ἐν
σκιοῖς τόποις καὶ ὀρεινοῖς· μάλιστα δὲ ὑπὸ τὰ δένδρα·

περὶ κυκλαμίνου ἑτέρας·

Κυκλάμινος ἑτέρα· οἱ δὲ κισσάνθεμον· φύεται ἐν τρα
χέσι τόποις· ῥίζα ἄχρηστος· φύλλα ἔχει ὅμοια κι
σσῷ· καυλοὺς παχεῖς· γονατώδεις περιελισσομένους
τοῖς παρακειμένοις δένδροις· ἄνθη λευκὰ εὐώδη· καρπὸν
ὅμοιον κισσῷ· μαλακόν· ταύτης ὁ καρπὸς· ὁ τῆς δραχμῆς
πλῆθος πινόμενος μετὰ οἴνου λευκοῦ, [illegible]

φθημαρ μὴ πολλῷ ἀποθεῖναι τὸ οὔρων καὶ κοιλίας σαπανώ
μενον· πίνεται δὲ καὶ ὀνκαρπὸς πρὸς ὀρθόπνοιαν·
καὶ τοὺς ἐκ τούτων καθαίρει πάθη:~

περὶ κονύζης

Κόνυζα λεπτόφυλλος· οἱ δὲ κόνυζα μικρά· οἱ δὲ παίωνι·
προφῆται κρόνιος· οἱ δὲ λιβανωτίς:~

περὶ ἑτέρας κονύζης·

Κόνυζα ἑτέρα· οἱ δὲ μεγάλη· πλατύφυλλος· οἱ δὲ ἰχ
θύς· οἱ δὲ δίνοσμος· προφῆται βραφοκτόνος· αἰ
γύπτιοι, κάτη· ῥωμαῖοι, ἴν τουβουμ· οἱ δὲ δυλιαρι·
οἱ δὲ κωνοζυματίτις· οἱ δέ, σκαναίς· οἱ δὲ τονάχλου·
οἱ δὲ φύκος· τὸ ὕψος τοῦ καυλοῦ τῆς μεγάλης μέν,
πηχῶν β΄· τῆς δὲ μικρᾶς ποδιαῖον· ἀμφότεραι
ἐοίκασι τοῖς φύλλοις ἐλαίᾳ· ἄνθος ταθαρού μὲν λί
νον μικρόν· ἐκπιτούμενον· ῥίζας ἄχρηστοι· δύναται
δὲ ὁ θάμνος σὺν τοῖς φύλλοις ὑποθυμιώμενος,
θηρία διώκειν· καὶ κώνωπας ἀπελαύνειν· κτείνει
δὲ καὶ ψύλλας· καταπλασσόμενα δὲ ὠφελίμως ἐ
πὶ ἀρπάτων δηκτῶν· καὶ φυμάτων καὶ τραυμάτων·
σὺν οἴνῳ δὲ πίνεται τὸ ἄνθος καὶ τὰ φύλλα, πρὸς
καταμηνίων ἀγωγήν· καὶ ἐκβολὴν ἐμβρύων· καὶ
στραγγουρίαν· καὶ στρόφους καὶ ἴκτερον· μετὰ ὄξους
δὲ πινόμενον, ἐγκαθεὶς κατὰ τὰς ἐν μήτρα ἀποκα
θαίρει· ὁ δὲ χυλὸς προστεθείς, τρόμους παύει·
ποιεῖ δὲ πρὸς ῥίγη συγχριομένη ἡ πόα μετ᾽ ἐλαίου· ἡ δὲ
λεπτὴ καταπλασσομένη· κεφαλαλγίαν ἰᾶται:~

περὶ καλαμίνθης

Καλαμίνθη ὀρεινή· φύλλα ἔχει λεπτὰ μικρὰ ἡδύοσμα·
οἱ δὲ ὀρίγανις· οἱ δὲ μίνθη· ῥωμαῖοι, καπιτάμ· οἱ δὲ με
ταμούταινα:~

καλαμίνθη ἀγρία· πλατύφυλλος· οἱ δέ, ὀσμῆτις·
φύλλα ἔχει ὠκίμου ὅμοια· οἱ δὲ γλήχων ἄγριος· αἰ-
γύπτιοι, βαλλού· προφῆται, γόνος ἀμπελλῶνος·
ῥωμαῖοι, μέντα στρουμ· σπάνοι, κροβοῦλα· γάλλοι
μέντα σιώνας· δάκοι, τασίλα· φύονται ἐν πεδίοις
καὶ τραχέσι τόποις καὶ παρύγροις· πινόμεναι δὲ
καὶ καταπλασσόμεναι, ἀρήγουσιν ἑρπετοδήκτοις·
ἄγει δὲ καὶ οὖρα τὸ ἀφέψημα πινόμενον· βοηθεῖ
καὶ ῥήγμασι καὶ σπάσμασι καὶ ὀρθοπνοίαις καὶ στρό-
φους· ἀμφοτέρων τὰ φύλλα, θερμαντικὰ ἰσχυρῶς·
γὰρ θερμὰ δριμέα· καὶ χολέρα· καὶ ῥίγωσι καὶ πρὸς τὰ
θανάσιμα πινομένη· καὶ ἐπιπινομένη σὺν οἴνῳ.
ἴκτερον ἀποκαθαίρει· τοῖς παραλύτοις ὁ χυλὸς αὐτῆς
μετὰ χυλοῦ ἀρνογλώσσου ἢ πεντανεύρου σὺν μέλιτι
πινόμενος· ἐκλειγομένη σὺν ἀλόῃ· ἀσθματικοῖς καὶ σπα-
ζομένοις βοηθεῖ· ἕλμινθας κτείνει· καὶ ἀσκαρί-
δας σὺν ἁλσὶ καὶ μέλιτι πινομένη, ἑφθὴ καὶ ὠμὴ
τετριμμένη, ὠφελεῖ καὶ ἐλεφαντιῶντας βρωθεῖσα·
ἐπιπινομένη ῥοῦς γάλα φθείρει· καὶ ἔμμηνα ἄγει τὰ
φύλλα λεῖα ἐν προσθέτῳ· θυμιαθεῖσα δὲ καὶ ὑπο-
στρωννυμένη, ἑρπετὰ διώκει· λειχῆνας δὲ καὶ τὰς
μέλανας οὐλὰς· ἀλειφθεῖσα δὲ σὺν οἴνῳ καὶ καταπλα-
σθεῖσα, ὑπώπια ἀποκαθαίρει· ἰσχιαδικοῖς τὸ ἐπι-
τιθέμενον μετὰ σύγκρισιν ἐπικαίουσα τὴν ἐπιφάνειαν·
καὶ σκώληκας τοὺς ἐν ὠσὶ κτείνει ὁ χυλὸς ἐνσταζόμενος:~

περὶ κοριάνου:

Κοριάνου· οἱ δὲ κόριον· οἱ δὲ κορίαντρον· οἱ δὲ κολίανδρον·
δύναμιν ἔχει ψυκτικήν· ὅθεν καταπλασσόμενον με-
τὰ ἀφρίτου ἢ ἄρτου, ἰᾶσι πάλαι καὶ ἕρπητας ἰᾶται
σὺν μέλιτι καὶ σταφίδι· ἐπινυκτίδας καὶ διδύμων

φλεγμοναῖς· καὶ αὐτὴ θραυσθεῖσα θεραπεύει· μετὰ δὲ οἴνου
ἀρσενικοῦ, χοιράδας καὶ φύματα διαλύει· τὸ δὲ
σπέρμα ὀλίγον πινόμενον μετὰ γλυκέος, ἕλμινθας
ἐκβάλλει· καὶ σπέρματος ἐστὶ γεννητικόν· πλεῖον δὲ
ληφθὲν, κινεῖ τὴν διάνοιαν ἐπικινδύνως· ὅθεν
δεῖ φυλάττεσθαι τὴν πλείονα χρῆσιν αὐτῶν· ὁ δὲ χυ-
λὸς σὺν ψιμυθίῳ ἢ λιθαργύρῳ καὶ ὄξει· καὶ ῥο-
δίνῳ καταχριόμενος, ὠφελεῖ τὰς κατὰ τὴν ἐπιφά-
νειαν φλεγμονὰς πυρώδεις· —

περὶ καπνοῦ·

Καπνός· οἱ δὲ κορυδάλιον· οἱ δὲ κόριον ἄγριον· οἱ δὲ οἱ δὲ χελιδόνιον·
καπνὸς ὁ ἐν ταῖς κριθαῖς· οἱ δὲ κάπνιον· Φράγγοι,
φωμούστερ· ὁ χυλὸς τούτου καθ' ὑδριμίσ· ὀξυδερκής·
δακρύων ἀγωγός· ὅθεν καὶ τοὔνομα εἴληχε· ποιεῖ δὲ
καὶ τῶν μετὰ ἀλλαγῆς· καὶ τοὺς ἥλους ὁμοίως ποιεῖ·
δύναται τὰς ἐκ τῶν βλεφάρων διπλᾶς τρίχας σὺν
κόμμι καταπλασθεῖσα, μὴ ἀναφύεσθαι· βρωθεῖσα
δὲ ἡ πόα, οὖρα ἄγει· —

περὶ καλλιτρίχου

Καλλίτριχον· οἱ δὲ πολύτριχον· οἱ δὲ τριχομανές·
οἱ δὲ ἀδίαντον· οἱ δὲ κόριον τὸ ἐν ὕδασι· δύναται
δὲ τὸ ἀφέψημα τῆς πόας πινόμενον, βοηθεῖ
ἀσθματικοῖς· ἰκτερικοῖς· δυσουροῦσι· θρύπτει δὲ
καὶ λίθους· καὶ κοιλίαν ἵστησι· κυνοδήκτοις τε βο-
ηθεῖ· καὶ στομάχου ῥεύματι σὺν ἀσθματι· κινεῖ δὲ κα-
ταμήνια καὶ λοχεῖα· ἵστησι αἵματος ἀγωγάς· καταπλά-
ττεται καὶ πρὸς θηριοδήκτους· καὶ ἀλωπεκίας συ-
νάγει· χοιράδας διαφορεῖ καὶ ἀποστήματα· τὴν
τε γράτα καὶ ἀχῶρας σὺν κονίᾳ· σὺν λαδάνῳ δὲ καὶ μύρ-
σίνῳ ἢ σουσίνῳ· ἢ κοινῷ συμμιχθὲν καὶ ἀναφόρου

ἐν κεφαλῇ, ποιεῖ γυναῖκας καὶ τρίχας αὔξεσθαι· ποιεῖ καὶ τοὺς ἀλεκτρυόνας καὶ τοὺς ὄρτυγας μαχιμωτέρους, μιγνύμενον τῇ τροφῇ.~

περὶ κυνωσάας

Κυνωσάα· οἱ δὲ κυνοκράμβην· οἱ δὲ λινοζωστιν ἀγρίαν ἄρρεν· κοινῶς ἄγριον χρυσολάχανον· ἢ κοπροβότανον· δύναμιν ἔχει ὅτι καυλὸς καὶ τὰ φύλλα πινόμενα, κοιλίας κινητικὴν καὶ χαλανθόμενα, καὶ καθεψόμενον τὸ ὕδωρ, ἄγει χολὴν ὑδατώδη:~

περὶ κυνοκεφαλίου·

Κυνοκεφάλιον· οἱ δὲ ἀντίρρινον· οἱ δὲ κυνωδέροδον· οἱ δὲ λυχνὶς ἀγρία· οἱ δὲ χάσκουσαν· ἱστόρηται τοῦτο δὲ ὑπὲρ πάθος εἶναι φαρμάκοις περίαπτον· ἀπιχθρίν τε ποιεῖ ἀλαφόμενον σὺν ἐλαίῳ:~

περὶ κυνογλώσσου·

Κυνόγλωσσον· οἱ δὲ σκώλυμος· οἱ δὲ φυτ(όν)· οἱ δὲ καλαβάτιον· φύλλα ἔχει ἀρνογλώσσῳ τῷ πλατυφύλλῳ ἐμφερῆ· στενότερα δὲ καὶ μικρότερα χνοώδη· ἄνευ καυλοῦ· ἐπὶ γῆς ἐστρωμένου· φύεται ἐν ἀμμώδεσι τόποις· δύναμιν ἔχει τὰ φύλλα σὺν στέατι παλαιῷ ὑείῳ· κυνοδήκτας καὶ ἀλωπεκίας καὶ κατακαύματα ἰᾶσθαι· ἀφεψηθεῖσα δὲ ἡ πόα καὶ πινομένη σὺν οἴνῳ, κοιλίας ἐστὶ μαλακτική· ποιεῖ καὶ πρὸς τοὺς δυσωδίας ἔχοντας τὸν χρῶτα· καὶ πρὸς τὸν ὀζόστομον, ἡ ῥίζα ἀφεψηθεῖσα σὺν οἴνῳ λευκῷ· οὐρεῖ γὰρ ὁ πότος οὖρον παχὺ καὶ δυσῶδες:~

περὶ ἡμέρου κυναβάτου·

Κυνάβατος ἥμερος· οἱ δὲ ἑλινιόστροφον· οἱ δὲ ἄγριον· ὁ καρπὸς αὐτῆς ἐπὶ πλεῖον ληφθεὶς, σβεννύουσι τῶν τροφῶν· τὰ φύλλα αὐτῆς λειούμενα καὶ ἐσθιόμενα μετὰ μέλιτος ἢ μετὰ σύκων διαταράσσει τὴν τροφήν:~

περὶ καυκαλίδος·

Καυκαλίς· οἱ δὲ μυΐτις· οἱ δὲ βρύων· αἰγύπτιοι, σισάλιον· ἑψόμενον καὶ ἐσθιόμενον, ἐστὶν οὐρητικόν:~

περὶ κράτωνος

Κράτων· οἱ δὲ κνῆκος· οἱ δὲ σησαμοειδὲς ἄγριον· οἱ δὲ σελινοκύπριον· κοινῶς χολοκοκκιάριν· τὸ σπέρμα καθαρτικόν· ὅσοι κόκκοι κ' τὸ πλῆθος καταποθέντες, κάτω καθαίρουσι φλέγμα καὶ χολὴν καὶ ὕδωρ· κινοῦσι δὲ καὶ ἔμετον· ὡς οἱ δὲ λίαν ἀηδὴς καὶ ἀργώδης ἡ τοιαύτη κάθαρσις· δύο δραχμαὶ ... στόμαχον ἰσχυρῶς· κόπτεται δὲ καὶ καταπλασθεὶς ἰόνθους καὶ ἐφήλεις καθαίρει· τὰ δὲ φύλλα τριβέντα μετὰ ἀλφίτου, ὀφθαλμῶν οἰδήματα καὶ φλεγμονὰς παύει· καὶ ἀποκρούεται μαλθούς· ἄργεμα πλακτὰ, σφηκὸς καὶ θάλαττα, καὶ μετ' ὄξους καταπλασσόμενα·:~

περὶ κνήφης·

Κνήφη· οἱ δὲ κνίδη· οἱ δὲ ἀκαλήφη· οἱ δὲ ἀδίκη· οἱ δὲ τζουκνίδα· ἀμφοτέρων τὰ φύλλα [^ τῆς θηλείας καὶ τῆς ἄρρενος·] καταπλασσόμενα μετὰ ἁλῶν, κυνόδηκτα ἰᾶται· καὶ γαγγραίνας· καὶ τὰ κακοήθη καὶ καρκινώδη· καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν· καὶ στρέμματα καὶ φύματα καὶ παρωτίδας· φύγεθλα καὶ ἀποστήματα· τοῖς δὲ σπληνικοῖς μετὰ κηρωτῆς ἐπιτίθεται· ποιεῖ καὶ πρὸς τὰς ἐκ ῥινῶν αἱμορραγίας τὰ φύλλα λεῖα σὺν τῷ χυλῷ λεῖα ἐπιτιθέμενα [^ κινεῖ δὲ καὶ ἔμμηνα λεῖα μετὰ σμύρνης ἐπιτιθέμενα·] καὶ ὑστέρας προπτώσεις ἀποκαθίστησι, καθαρὰ τὰ φύλλα προσαπτόμενα· τὸ δὲ σπέρμα πρὸς συνουσίαν παρορμᾷ πινόμενον μετὰ οἴνου γλυκέος· καὶ ὑστέρας ἀναστομοῖ· σὺν μέλιτι δὲ ἐκλειχόμενον, ὀρθοπνοίας ὠφελεῖ καὶ πλευρίτιδας καὶ περιπνευμονίας· ἀνάγει καὶ τὰ ἐκ θώρακος· μίγνυται καὶ σηπτικοῖς· συνεψηθέντα δὲ τὰ φύλλα κογχυλίοις,

κοιλίας μαλάσσει· ἐμπνευματώσεις λύει· οὖρα κινεῖ· σίω-
πος δὲ ἀφεψηθὲν, ἀνάγει τὰ ἐκ θώρακος· τὸ δὲ ἀ-
φέψημα τῶν φύλλων σὺν ὀλίγῃ σμύρνῃ, κινεῖ ποθὲν
καταμήνια· ὁ δὲ χυλὸς ἀναγαργαριζόμενος συναστέλλει
κιονίδος φλεγμονάς:~

περὶ καππάρεως·

Κάππαρις· οἱ δὲ κυνόσβατον· οἱ δὲ ἀκόνητον· οἱ δὲ κυνό-
μορος· οἱ δὲ καππαρίαν· οἱ δὲ κόρακος μῆλον· ὁ μὲν τοῦ
καρπὸς αὐτῆς πλείονα τῇ ἑκ, ὁλκὴ δυοῖν δραχμῶν, με-
τ᾽ οἴνου πινόμενος ἐπὶ ἡμέρας μ΄· ἄγει δ᾽ οὖρον καὶ δια-
χωρεῖ· ἰσχιάδι τε καὶ παραλύσει βοηθεῖ πινόμενος
ὁ καρπός· πρὸς ῥήγματα καὶ σπάσματα· ἔμμηνα ἄ-
γει καὶ ἀποφλεγματίζει· ὀδόντων πόνον παύει, ὁ κα-
ρπὸς σὺν ὄξει ἀφεψηθεὶς καὶ διακλυζόμενος· τῆς δὲ ῥίζης
ὁ φλοιὸς ξηρὸς, πρὸς τὰ εἰρημένα ἁρμόζει καὶ ἀνα-
καθαίρει παγχρόνιον καὶ ῥυπαρὸν καὶ τετυλωμένον
ἕλκος:~

περὶ καταναγκης·

Καταναγκη· οἱ δὲ, στόμαν· οἱ δὲ, ἡμεραν· ἄστ καὶ ἀ-
κατανάγκη· οἱ δὲ σαμιναμάσιν· οἱ δὲ διονυσία· οἱ
δὲ, θύρσιον· ἡ μὲν τις ἔχει αὐτῶν φύλλα μακρὰ ὡς
κορωνόποδος· ῥίζαν λεπτὴν σχοινώδη· κεφαλὰς δὲ ὀρο-
βου· καὶ μὲν ταῦτα δὲ ξηραινόμενος ἐπὶ τὴν γῆν καὶ κεῖ-
ται νεκροῦ, ὄνυχι ὁμοιοῦντες, τὸ δὲ ἕτερον μικροῦ
μηλίνου μέγεθος· ἔχει ῥίζαν μικράν· φύλλα σχήματι
καὶ χροιᾷ ἐλαίας· μαλακώδη· ἐπὶ τῆς ἐσχισμένα καὶ
ἀπεσχισμένα κατὰ ποὺς δὲ ἀπὸ ῥάβδου· μικρὰ τετραμμένου·
κατὰ πολλὰ μέρη ὡς ἐρέβινθον· ἀμφότερα δ᾽ εἰς φορ(?)
σι τινὲς, εἰς φίλτρα ἁρμόζειν· χρῆσθαι δὲ λέγουσιν αὐ-
τοῖς τὰς θεσσαλὰς γυναῖκας:~

περὶ κισσοῦ·

Κισσός· οἱ δὲ κιθαρόν· οἱ δὲ κίσθαρον· οἱ δὲ χρυ-
σόκαρπος· οἱ δὲ ἀσπλήνιος· πᾶς δὲ κισσὸς δρι-
μύς· στυπτικός· τοῖς δὲ τὰ ἄνθη αὐτῆς τρι-
σὶν δακτύλοις ληφθέντα καὶ ποθέντα ἐν οἴνῳ πρὸς
δυσεντερικούς· δὶς δὲ τῆς ἡμέρας δεῖ πίνειν· καὶ πρὸς
πυρίκαυστα δὲ ἁρμόζει σὺν κηρωτῇ λεανθέντα·
τὰ δὲ ἁπαλὰ τῶν φύλλων σὺν ὄξει ἑψόμενα καὶ ἄρτῳ
συγκαταπλασσόμενα σπλῆνας ἀπαλύνει(?) ἰᾶται·
ῥινεγχυτεῖται δὲ ὁ χυλὸς τῶν φύλλων καὶ τῶν κορύμβων
σὺν ἰρίνῳ ἢ μέλιτι πρὸς τὰ χρόνια τῆς κεφαλῆς ἀλ-
γήματα, ἁρμόζει καὶ ἐπὶ βραχὺ μετὰ ὄξους καὶ ῥο-
δίνου· ὠταλγίαν δὲ καὶ ἀπορρέοντα ὦτα, σὺν
ἐλαίῳ ἰᾶται· τοῦ δὲ μέλανος κορύμβου κισσοῦ ὁ
χυλός, ἢ οἱ κόρυμβοι ποθέντες ἐν οἴνῳ καὶ τὰ ἔμ-
πλαστα ποιοῦσι τὴν διάθεσιν πλεονασθέντες· τὰ
δὲ σφαιρία ἐκ τῶν κορύμβων θερμανθέντα σὺν ῥο-
δίνῳ ἐν σιδίῳ ἢ ἱεροῖς φλοιῷ ξηρῷ· καὶ ἐνσταχθέν-
τα εἰς τοὺς ὀδόντας ἀλγοῦντας, τὰ ἀλ-
γήματα θεραπεύουσι· μελαίνουσι δὲ καὶ τρίχας οἱ κό-
ρυμβοι καταπλασσόμενοι· τὰ δὲ φύλλα πρὸς πᾶν
ἕλκος ἀποζεσθέντα ἐν οἴνῳ καταπλασσόμενα καὶ τὰ
καύματα καὶ κακοήθη καὶ τὰς ἀφήλιδας θεραπεύει·
κινοῦσι δὲ καταμήνια ποθέντες οἱ κόρυμβοι· καὶ
ποθέντα δὲ μετὰ τὴν κάθαρσιν ∠ πλῆθος, ἀτόκιον
ἐστί· καὶ ὁ μόσχος τοῦ φύλλου μέλιτι ἀναλειφθεὶς καὶ ἐμ-
βληθεὶς τῇ μήτρᾳ, ἔμμηνα ἄγει· ὁ δὲ χυλὸς ἀτμιζ-
όμενος, ταῖς αὐτοῖς ῥόθωσι δυσωδίας καὶ ὀσμὰς
ὀζαινας ἐκκαθαίρει· τὸ δὲ δάκρυον αὐτοῦ ψιλοῖ τρίχ-
ας· καὶ φθεῖρας ἀπαλείφόμενος· ὁ δὲ τῶν ῥιζῶν
χυλὸς ποθεὶς σὺν ὄξει, φαλαγγιοδήκτοις βοηθεῖ:-

περὶ κάχρυος·

Κάχρυ· οἱ δέ, λιβανωτίς· οἱ δὲ κονταλάμινθον· οἱ δὲ
φονοκάρπασος· Ῥωμαῖοι μουζογρίαν· Αἰγύπτιοι,
αλ· κοινῶς δὲ ἀσμοδιώκτης· ταύτης ὁ καρπὸς κάχρυ
καλεῖται· φύλλα ἔχει μαράθρῳ ὅμοια πλατύτε-
ρα δὲ τροχοειδῶς ἐπὶ γῆς ἐστρωμένα· καυλὸν δὲ
ὅσον πήχεος· μασχάλας ἔχον πολλάς· ἐπ᾽ ἄκρων
σκιάδια· ἀφ᾽ ὧν καρπὸς πολὺς λευκός· δριμὺς ῥη-
τινίζων· ὃν δεῖ τοῦ διαμασᾶσθαι, ἐπικαίων τὴν
γλῶσσαν· ῥίζα δὲ λευκὴ εὐμεγέθης· φύεται δὲ ἐν
πετρώδεσι καὶ τραχέσι τόποις· καταπλασθεῖσα δὲ
ἡ πόα, αἱμορραγίας στέλλει φλεγμονάς τε· καὶ δα-
κτύλιον πραΰνει· καὶ κονδυλώματα· καὶ χοιράδας
καὶ τὰ δύσπεπτα τῶν ἀποστημάτων, σὺν πίσσῃ· αἱ
δὲ ῥίζαι ξηραὶ σὺν μέλιτι, ἕλκη ἀποκαθαίρουσι·
καὶ στρόφους ἰῶνται· καὶ θηριοδήκτοις ἁρμόζουσι
σὺν οἴνῳ πινόμεναι· ἔμμηνά τε ἄγουσι· καὶ διαφοροῦ-
σιν οἰδήματα παλαιὰ καταπλασσόμεναι· ὁ δὲ χυλὸς
τῆς ῥίζης τῆς πόας, ὀξυδερκής· μιγνύμενος μέλι-
τι καὶ ἐγχριόμενος· ὁ δὲ καρπὸς πινόμενος, τὰ αὐτὰ
ποιεῖ· βοηθεῖ καὶ ἐπιληψίαις· καὶ τοῖς ἐν θώρακι, ἢ
ἄλλαις διαθέσεσι· ἴκτερον δὲ μετὰ πεπέρεως καὶ
οἴνου διδόμενος ἰᾶται· ἔστι δὲ καὶ ὑδροποιὸς σὺν ἐ-
λαίῳ ἀλειφόμενος· ἁρμόζει καὶ ῥήγμασι καὶ σπάσμασι·
ποδάγρας τε καταπλασσόμενος σὺν αἰρίνῳ ἀλεύρῳ·
καὶ ὄξει· ἀλφούς τε σμήχει μιγνύμενος ὄξει δριμυτάτῳ·-

περὶ κρίνου βασιλικοῦ

Κρίνον βασιλικόν· οἱ δὲ κρινάνθεμον· οἱ δὲ καλλίφριον·
οἱ δὲ λείριον· οἱ δὲ σούσινον· οἱ δὲ λευκὸν κρίνον· τούτου
τὸ ἄνθος στεφανωτικόν ἐστι· μαλακτικὸν νεύρων· καὶ ἰδί-

τῶν περὶ μήτραν. τῆς δὲ πόας τὰ φύλλα, δύναμιν ἔχει καταπλασσόμενα, ἑρπετοδήκτοις βοηθεῖν. ποιεῖ καὶ πρὸς τὰ καύματα ἑψηθέντα. ταριχευθέντα δὲ ἐν ὄξει, τραυματικά. ὁ δὲ χυλὸς αὐτῶν μετὰ ὄξους καὶ μέλιτος· ἀφεψηθεὶς τε ἐν χαλκώματι, ὑγρὸν γίνεται φάρμακον· πρὸς τὰ παλαιὰ ἕλκη καὶ τραύματα. ἡ δὲ ῥίζα ὀπτηθεῖσα σὺν ῥοδίνῳ, πυρίκαυτα ἰᾶται. καὶ ὑστέρας μαλάσσει· καὶ ἔμμηνα ἄγει· ἑλκητικά τουλοί· σὺν μέλιτι δὲ λεανθεῖσα, νεύρων διακοπὰς καὶ στρέμματα ἰᾶται, καὶ ἀλφοὺς ἀποκαθαίρει· καὶ λέπρας καὶ πυρίκαυτα καὶ ἀχῶρας σμήχει· τά τε πρόσωπα λαμπρύνει θεραπεύει καὶ ἀρρυτίδωτα ποιεῖ· σὺν ὄξει δὲ λεία ἢ σὺν ὄξει καὶ ὑοσκυάμου φύλλοις καὶ ἀλεύρου πυρίνου, ὄρχεων φλεγμονὰς παραστέλλεται· τὸ δὲ σπέρμα, ἑρπετῶν δήγμασι ἀντιφάρμακον ποθέν· ἐρυσιπελάτων δὲ καταπλασσόμενα σὺν οἴνῳ λεανθέντα:~

περὶ κροκοδειλείας·

Κροκοδειλέα· ὅμοιον ἐστὶ τῷ μέλανι χαμαιλέοντι· φύεται ἐν τόποις δρυμώδεσι· ῥίζαν ἔχον μακρὰν δριμεῖαν· ὀσμὴν δὲ ὁμοίαν καρδάμῳ· ἑψηθεῖσα δὲ ἡ ῥίζα σὺν ὕδατι καὶ πινομένη, αἷμα πολὺ διὰ ῥινῶν ἄγει· δίδοται καὶ τοῖς σπληνικοῖς ἐναργῶς ὠφελοῦντα.~

περὶ κορωνόποδος·

Κορωνόπους· οἱ δὲ ἄμμωνος· οἱ δὲ ἀστέριον· πρόμηκες βοτάνιον κατὰ τοῦ ἐδάφους ἐστρωμένον· κατεσχισμένα τὰ φύλλα· ῥίζαν λεπτὴν στυπτικήν· λαχανεύεται δὲ καὶ τοῦτο ἑφθόν· ἡ δὲ ῥίζα αὐτοῦ ποιεῖ πρὸς κοιλιακοὺς ἐσθιομένη.~

περὶ κυμίνου ἡμέρου·

Κύμινον ἥμερον· εὔστομον· δύναμιν δὲ ἔχει θερμαν

τήκων· συντεθὲν ἁρμόζει πρὸς στρόφους· καὶ ἐμπνευ-
ματώσεις, ἀκλυζόμενον ἑφθόν· ἐλαίῳ καταπλα-
σσόμενον σὺν ὠμῇ λύσει· δίδοται δὲ καὶ ὀρθοπνοϊ-
κοῖς σὺν ὀξυκράτῳ· θηριοδήκτοις δὲ σὺν οἴνῳ· ἀρή-
γει δὲ καὶ διδύμων φλεγμονὰς σὺν σταφίδι καὶ ἀ-
λεύρῳ ἀφρυγμένῳ καὶ κηρωτῇ ἐπιτεθέν· ἐπέχει δὲ
ῥοῦν γυναικεῖον· καὶ τὰς ἐκ μυκτήρων δὲ αἱμορραγίας,
σὺν ὄξει λεῖον προσαναχθέν· τρέπει δὲ καὶ χρῶτας ἐ-
πὶ τὸ ὠχρότερον πινόμενον, ἢ καὶ συγχριόμενον:—

περὶ κυμίνου ἀγρίου

Κύμινον ἄγριον· τοῦτο φύεται μὲν πλεῖστον καὶ ἐναργέ-
στερον, ἐν χερσονήσῳ τῆς Ἰωνίας· ποιεῖ δὲ ὃ καὶ τὸ
ἥμερον:—

περὶ κλυμένου

Κλύμενον· οἱ δὲ καλυκάνθεμον· οἱ δὲ περικλύμενον·
οἱ δὲ ἡλιοφανές· οἱ δὲ περιπλοκάδα μεγάλην· ἄριστον
δὲ τὸ ὄρειον· χυλίζεται δὲ ὅλον σὺν ῥίζῃ καὶ πινόμενον·
καὶ κοιλιακοὺς καὶ ῥοῦν ἐρυθρόν, στῦφον καὶ λοχ...
ἐπέχει δὲ καὶ τὰς ἐκ μυκτήρων αἱμορραγίας· τὰ δὲ
φύλλα τοῖς ναοστρόποις ἐπιτιθέμενα, μέχρις ἀπου-
χώσεως ἐναργῆ:—

περὶ κληματίτιδος

Κληματῖτις· οἱ δέ, ἐπίπιης· κλῆμα ἀνίησιν ὑπέρυ-
θρον λυγῶδες· φύλλον δριμὺ λίαν γευσαμένῳ· καὶ
ἑλκωτικόν· ταύτης ὁ καρπὸς λεῖος μεθ' ὕδατος ἢ μελικράτου·
ἢ ὕδατος ποθείς, ἄγει κάτω φλέγμα καὶ χολήν· τὰ δὲ
φύλλα καταπλασθέντα, λέπρας ἀφίστησι:—

περὶ κληματίτιδος ἑτέρας

Κληματῖτις ἑτέρα· οἱ δέ, φυλάκ· οἱ δὲ δαφνοει-
δής· οἱ δὲ πολυγονοειδής· φύεται ἐπὶ γῆς· κλήμα-
τα δὲ ἔχει μικρά, ὡς ὀλιγοσίνου τὸ πάχος· πέταλον δὲ
δάφνῃ ἐμφερὲς τῷ σχήματι καὶ τῇ χροιᾷ· μικρότερον δὲ

πολλῷ· ταύτης τὰ φύλλα καὶ ὁ καυλὸς σὺν οἴνῳ πινό-
μενοι διαρροίας καὶ δυσεντερίας παύουσι· μετὰ γάλακτος
δὲ καὶ ῥοδίνου ἢ κυπρίνου ἐν πεσσῷ προστιθέμενα
ὑστέρας πόνους θεραπεύει· καὶ ὀδόντων διαμασώμενα.
βοηθεῖ δὲ καὶ θηριοδήκτοις ἐπιτιθέμενα· ἱστορεῖται
δὲ καὶ ἀσπιδοδήκτοις μετ' ὄξους πινομένη βοηθεῖν·
φύεται δὲ ἐν χέρσοις:—

περὶ κράμβης ἡμέρου

Κράμβη ἥμερος· πινομένη καθεψηθεῖσα· κακοστό-
μαχος δὲ καὶ δριμυτέρα ἡ θερινή· ἡ δὲ ἐν Αἰγύπτῳ
διὰ πικρίαν ἄβρωτος· ἀμβλυωποῦσι δὲ βοηθεῖ καὶ
τρομώδεσιν ἐσθιομένη· καὶ τὰς ἐκ κραιπάλης οἰνοφλυ-
γίας σβεννύουσιν ἐπιλαμβανομένη· τὸ δὲ ἀφέψημα αὐτῆς
κλύσμα, εὐστομαχώτερον μέν· δριμύτερον δὲ καὶ οὐρη-
τικώτερον· ταριχευθεῖσα δὲ κακοστόμαχος· κοιλίας
ταρακτική· ὁ δὲ χυλὸς αὐτῆς ὠμὸς μετὰ ἴρεως καὶ
νίτρου καταπινόμενος, κοιλίαν μαλάσσει· μετ' οἴνου
δὲ ποθείς, ἐχιοδήκτοις βοηθεῖ· σὺν τήλινῳ δὲ ἀλεύ-
ρῳ καὶ ὄξει, ποδαγρικοῖς καὶ ἀρθριτικοῖς· ἕλκεσί τε
ῥυπαροῖς καὶ παλαιοῖς ἐπιπλαττόμενος ἁρμόζει· ἐγ-
χεόμενος δὲ καθ' ἑαυτὸν ταῖς ῥισί, κεφαλὴν καθαί-
ρει· μετὰ αἰρίνου ἀλεύρου προστιθείς, καταμήνια ἄγει.
τὰ δὲ φύλλα καὶ τὰ πλασσόμενα καθ' αὑτὰ καὶ μετὰ ἀλ-
φίτων, ποιεῖ πρὸς πᾶσαν φλεγμονήν· καὶ οἰδήματα καὶ
ἐρυσιπέλατα· καὶ ἐπινυκτίδας καὶ λέπρας ἰᾶται·
ἀπάγει δὲ καὶ ῥύσει τῶν ἐν κεφαλῇ τριχῶν· ὠμὰ δέ, ἐσθι-
όμενα μετ' ὄξους, σπληνικοῖς ὠφελεῖ· διαμασώμενα
δέ, φωνῆς ἀποκοπεῖσαν καθίστησιν· καὶ τοῦ ξύλου
πινομένου καὶ τὸ ἀφέψημα δὲ αὐτῆς, κοιλίαν καὶ
ἔμμηνα κινεῖ πινόμενον· τὸ δέ, ἄνθος σὺν τῷ καὶ ὀν-

μετὰ τὴν χρῆσιν προστεθεὶς ἐν πεσσῷ· τὸ δὲ σπέρμα μάλιστα τῆς αἰγυπτίας, ἕλμινθας ἀποκτείνει· μίσγεται δὲ καὶ εἰς ἀντιδότους· οἱ δὲ καυλοὶ χλωροὶ κατακαυθέντες σὺν ταῖς ῥίζαις καὶ λειωθέντες σὺν στέατι ὑείῳ παλαιῷ, πλευρᾶς χρόνια ἀλγήματα ἐπιτιθέμενοι παύουσιν· ἰᾶται καὶ ῥυπαρὰ ἕλκη καὶ φαλακροὺς ἡ ῥίζα αὐτῆς τε ὁ καυλὸς κατακαυμένος χλόος σὺν στέατι ὑείῳ καὶ ἄλλα φόρμενος πασδίων μάλιστα :~

περὶ κράμβης ἀγρίας·

Κράμβη ἡ ἑτέρα ἀγρία· φύεται ἐν παραθαλασσίοις τόποις καὶ κρημνώδεσι ἐμφερὴς τῇ ἡμέρῳ· σὺν ἀλφίτῳ δὲ τὰ φύλλα καταπλασσόμενα, κολλητικὰ τραυμάτων· καὶ διαφορητικά· οἰδημάτων τε καὶ φλεγμονῶν :~

περὶ κράμβης θαλασσίας·

Κράμβη θαλασσία· κοινῶς κρίθαμα· ἔστι δὲ τὴν γεῦσιν ὑφάλμυρος· καὶ ποσῶς ἐν τῇ αὐτῇ ἐστὶ στυπτική· ὅλη δὲ ὑπάγει κοιλίας λυτικωτάτη εὐθὺς βρωθεῖσα· συνεψοῦσι δὲ αὐτῇ ἔνιοι, τὰ λιπαρὰ τῶν κρεῶν :–

περὶ κρομμύου·

Κρόμμυον· οἱ δὲ πολύειδος· προφῆται δὲ, καλαβωτῆς· ῥωμαῖοι, κηπάκι· δριμύτερον τὸ μακρὸν τοῦ στρογγύλου· καὶ τὸ ξανθὸν τοῦ λευκοῦ· καὶ τὸ ξηρὸν τοῦ χλωροῦ· καὶ τὸ ὠμὸν τοῦ ὀπτοῦ καὶ ταριχηροῦ· ἔστι δὲ πάντα δηκτικὰ καὶ πνευματικὰ ὀρέξεως ἐκκλητικά· λεπτυντικά· διψώδη· ἀσώδη· ἀποκαθαρτικά· εὐκοίλια· ἀναστομωτικὰ ἐκκρίσεων ἄλλων καὶ αἱμορροΐδων· ἀντιβάλανα προστιθέμενα· λεπτυνθέντα καὶ εἰς ἅλας οὐ βαπτόμενα· ὁ δὲ χυλὸς ἐγχριόμενος σὺν μέλιτι τὰς χρήσιμος ἀμβλυώττουσι· ἀργέμοις· βλεφάροις· καὶ ἀρχομένοις ὑποχύσεσι καὶ συναγχικοῖς διάχρισος· καὶ

ὠταλγίαις ὁ χυλὸς αὐτοῦ ἐν συριγμοῖς σὺν μέλιτι ἢ χλι-
αρὸς ἐνσταζόμενος, ἄκρον ποιεῖ· καὶ ἐν ἀκαλήφαις καταρμόζει α-
λγεῖ· ἐν κλύσματι καθαρτικὸς καὶ κεφαλῆς· κυνοδήκ-
των τε καὶ τὸ πλάσμα μετὰ θαλλοῦ καὶ πηγάνου καὶ μέλιτος
σὺν ὄξει· ὅθεν ἐν ἡλίῳ καταπλασθείς, ἀλφοὺς ἰᾶται·
μετ' ἴσου δὲ ὀποδίου· ἀμβλυωπίας ὀφθαλμῶν παύει· καὶ ἰόνθους
παύει, σὺν ὀρνιθείου στέατι· καὶ πρὸς ἐκθλίμματα ὑπο-
δήματος χρήσιμον· καὶ πρὸς ῥῦσιν κοιλίας καὶ δυσουρίαν
καὶ συριγμούς· καὶ πυορροοῦντα ὦτα ὁ χυλὸς καὶ ὕδατι
ἀποπλυνθείς· καὶ πρὸς ἀλωπεκίας παρατριβόμενον· τά-
χιον γὰρ ἀνακαλεῖ, προκαλεῖται τρίχας· ἐστὶ δὲ καὶ
κεφαλαλγὲς πλέον βρωθέν· ἑψηθὲν δὲ οὐρητικώτερον
γίνεται:~

περὶ καρδάμου·

Κάρδαμον· οἱ δὲ κνωὸν κάρδαμον· οἱ δέ, ἰβηρίς· οὗτο
φάρμακον καθαρτικόν· θερμαντικόν· δριμύ· κακοστόμαχον·
κοιλίαν ταράσσον καὶ ἕλμινθας ἐκτινάσσει· σπλῆνα μειοῖ καὶ
ἔμβρυα φθείρει· συνουσίαν παρορμᾷ· ἔοικε δὲ σινήπι
καὶ εὐζώμῳ· ἀποσμήχει λέπρας καὶ λειχῆνας· σὺν μέ-
λιτι δέ, καὶ σπλῆνα τήκει καταπλασσόμενον· καὶ κηρία
ἀποκαθαίρει· καὶ τὰς ἐνθώρακος ὀργάς, ἐκκαθαίρει τὸ μὲν
ἐν ῥοφήμασι· ἑρπετοδήκτων τε ἐστὶ αὐτὸ φάρμακον πι-
νόμενον· θυμιαθέν, διώκει ἑρπετά· τρίχας τε ῥέου-
σας ἐπέχει· καὶ ἄνθρακας περιρρήσσει καὶ πυοποιεῖ· καὶ
οἰδήματα καὶ φλεγμονὰς διαφορεῖ· σὺν θείνεται τὸ αὐτὸ
καὶ σὺν ἅλμῃ καταπλασθέν· καὶ ἡ πόα δὲ τὰ αὐτὰ ποιεῖ· ἀ-
λαττον μὲν τοι γενναίως:—

περὶ κωνείου·

Κώνειον· οἱ δὲ λιγνωός· οἱ δὲ ἀβρότονον· οἱ δὲ δόλιον· οἱ δὲ ἡ-
πα θουσα· Κοινῶς δὲ ματουλα· οἱ δὲ ἀμαύρωσις· πα-
ραλύσεις· ἄφρον· ἀπὸ μοιροῦ· ἐν ζύμῃ σον· ἐστὶ δὲ ἀπὸ

τῶν φθαρτικῶν τῆς κατὰ τὴν ἐξέδραν σαρκῶν· βοηθεῖ τε σὺν ἀ-
κράτῳ οἴνῳ· χυλίζεται γοῦν ἄκρα ἡ κόμη πρὸ τοῦ ξη-
ρανθῆναι τὸ σπέρμα, καὶ ἀναθλίβεται κοπτόμενον
καὶ συστρέφεται ἐν ἡλίῳ· ὡς δὲ πολύχρηστον ἐξ τινῶν
γάγγραιναν τῶν χρόνων· ξηρανθεῖσα καὶ σὺν οἴνῳ μιγνυμένον, ἐπιτή-
δειον ταῖς ἐν αἰδοίοις καὶ κολλυρίοις τὸ χύλισμα· ἄρτι
ταῖς τε καὶ ὑγροῖς πύλαις καὶ καταπλασθὲν σβεννύουσι· ἡ δὲ
πόα καὶ ἡ κόμη λεία καταπλασσομένη τῶν διδύμων,
βοηθεῖ ὀνειρώττουσι· παρίησι δὲ καὶ αἰδοῖα καταπλα-
σθεῖσα· γάλα σβεννύουσι· μασθοὺς τὰς ἐν παρθενίᾳ, αὐ-
ξάνεσθαι κωλύει· καὶ διδύμους ἀτρόφους ποιεῖ, τριβόμενον
ἀπὸ παίδων τοῦ νέου:~

περὶ κυάμου·

Κύαμος· ῥωμαῖοι, φάβα· αἰγύπτιοι, ἀραμός· σκύ-
θαι, μπαλλά· ἑλληνικὸς κύαμος, κακοστομαχώτα-
τος καὶ φυσωδέστερος· τὸ δὲ ἄλευρον τοῦ κυάμου καὶ τὸ
πλασθὲν καθ᾽ αὐτὸ καὶ σὺν ἀλφίτῳ, τὰς ἀπὸ πληγῆς
φλεγμονὰς πραΰνει· καὶ μασθοὺς χονδριοῦντας ἀφά-
λιμος· γάλακτα σβεννύουσι· σὺν μέλιτι καὶ τηλίνῳ ἀλεύ-
ρῳ παρωτίδας καὶ ὑπώπια διαφορεῖ· σὺν ῥοδίνῳ καὶ λι-
βανωτῷ καὶ ᾠοῦ τῷ λευκῷ, ὀφθαλμῶν προπτώσεις καὶ
σταφυλώματα στέλλει· σὺν οἴνῳ δὲ φυραθεὶς συγχύσεις
καὶ πληγὰς καθίστησι· ἔτι σὺν ἀκόλλημα ῥεύματος· χω-
ρὶς τοῦ λέπους μασηθεὶς ἐπιτίθεται κατὰ τοῦ μετώ-
που· καὶ διδύμων δὲ φλεγμονὰς ἑψηθεὶς ἐν οἴνῳ θεραπεύει·
καὶ τοῖς ἐφηβαίοις δὲ τῶν παιδίων ἐπὶ πολὺ καταπλα-
σσόμενος, ἀνήβους προσπολὺ τηρεῖ· σμήχει δὲ καὶ
ἀλφούς· τὸ δὲ λέπυ καταπλασσόμενον, τὰς ἐκτιλη-
θείσας τρίχας ἀτρόφους καὶ λεπτὰς κατασκευάζει· καθ-
σὺν ἀλφίτου καὶ σχιστῆς καὶ ἐλαίου παλαιοῦ χοιράδας διαφορεῖ·

Καταπλασθεῖσα· καὶ ὑπερβάλλει τὸ ἀφέψημα αὐτῶν· ἐπιτίθεται δὲ καὶ πρὸς τὰς βδελλῶν αἱμορραγίας:—

περὶ κολοκυνθίδος·

Κολοκυνθίς· οἱ δὲ σικύαν πικράν· οἱ δέ, κολόκυνθος ἀλεξανδρινός. ἡ μὲν αὐτῆς ἐντεριώνη τοῦ καρποῦ καθαρτικὴ τῷ τριωβόλῳ πλῆθος μετὰ ὑδρομέλιτος λαμβανομένη· συναναλαμβανομένη νίτρῳ καὶ σμύρνῃ καὶ μέλιτι ἑφθῷ· αὐτὸ δὲ αἱ σφαῖραι ξηραὶ, λεῖαι, ὠφελίμως μίγνυνται κλυσμοῖς ἰσχιατικῶν καὶ κοιλιακῶν· ἄγουσαι φλέγμα καὶ χολὴν καὶ ξύσματα· ἐνίοτε δὲ καὶ αἱματώδη. ἡ δὲ κυρβ... φθείρουσι πρὸς τὸ ἔμβρυα· ὀδονταλγίας τε διακλυσμα. ἐὰν δέ τις καθάρας αὐτὴν καὶ περιπλάσας πηλῷ· ἐν ... ἀποζέσας τὸ ἔνδον ἔξω διακλύζεσθαι· ἐὰν δέ τις ἐν ἀφεψήσας μελίκρατον ἢ γλυκὺ καὶ ἄξας θεραπεύσας δῷ πιεῖν, καθαίρει παχέος καὶ ξύσματα· ἔστι δὲ κακοστόμαχος λίαν. προστίθεται δὲ καὶ βάλανοι ἐξ αὐτῆς πρὸς κομιδὴν τῶν περιττωμάτων· καὶ χλωρᾶς δὲ αὐτῆς ὁ χυλός, ἐπὶ ἰσχιαδικοὺς ἁρμόζει:~

περὶ κέγχρου·

Κέγχρος· ῥωμαῖοι, μίλιουμ· σκύθαι, τελέ· μυσοὶ, πρόσω. ἀτροφωτέρα δὲ τῶν ἄλλων σιτίων ἐστὶν ἀρτοποιηθεῖσα· πολτὸς δὲ συσκευασθεῖσα, κοιλίαν ἵστησιν· οὖρα δὲ κινεῖ. ἀποκαθαρθεῖσα δὲ καὶ βληθεῖσα εἰς σακκούλιον πυριωμένη, στρόφων καὶ ἀλγημάτων βοήθημα:—

περὶ κριθῆς·

Κριθὴ ἀρίστη ἡ λευκὴ καὶ καθαρά· ἀτροφωτέρα δὲ πυροῦ. τὸ μέντοι γινόμενον ἐξ αὐτῆς ἄλφιτον ἢ πτισάνη τροφιμωτέρα διὰ τὴν ἐν τῇ ἑψήσει χύλωσιν· ποιοῦσα πρὸς τὰς δριμύτητας καὶ τὰς περὶ ἀρτηρίαν τραχύτητας καὶ ἑλκώσεις· πρὸς ἃς καὶ ἡ πυρίνη πτισάνη ἁρμόζει.

τροφιμωτέρα καὶ οὐρητικωτέρα οὖσα· καταπασθεῖσα δὲ καὶ
γάλα συναψηθεῖσα, μαράθρου σπέρματι καὶ ἐρ φουμή·
ἔστι δὲ οὐρητική· σμηκτική· φυσώδης· κακοστόμαχος·
συμπεπτικὴ οἰδημάτων· διαφορεῖ δὲ τὸ ἐξ αὐτῆς ἄλευρον
μετὰ σύκων καὶ μελικράτου ἀφεψηθέν, οἰδήματα καὶ
φλεγμονάς· συμπλασθὲν δὲ καὶ τὰς σκληρίας μετὰ πίσσης
ἢ ῥητίνης καὶ περιστερᾶς κόπρου· σὺν μελιλώτῳ δὲ καὶ
κωδίαις, ἀνωδυνίαν παρέχει τοῖς πλευρὰ ἀλγοῦσι· καὶ τὰ
πλάσματα δὲ καὶ πρὸς ἐμπνευματώσεις ἐντέρων, μετὰ
λινοσπέρμου καὶ τήλεως· καὶ πηγάνου· μετὰ δὲ πί-
σσης ὑγρᾶς καὶ κηροῦ καὶ οὔρου παιδὸς ἀφθόρου καὶ
ἐλαίου, χοιράδας ἐκπέττει· σὺν μυρσίνῃ δὲ ἢ οἴνῳ· ἢ
ἀχράσιν· ἢ βάτῳ· ἢ σιδίοις, κοιλίας ῥεύματα ἵστησιν·
σὺν κυδωνίοις δὲ ἢ ὄξει, ποδαγρικὰς φλεγμονὰς ὠφελεῖ·
ἀφεψηθεῖσα δὲ μετὰ ὄξους δριμέος ὃν τρόπον ἐμήλυσις καὶ
θερμὸν ἐπιτεθέμενον, λέπρας ἰᾶται· χυλωθὲν ἢ
σὺν ὕδατι τὸ ἄλευρον· ἀφεψηθέν τε σὺν πίσσῃ καὶ ἐλαίῳ,
πυοποιεῖ· σὺν ὄξει δὲ χυλωθὲν καὶ ἀφεψηθὲν μετὰ πίσσης,
πρὸς τὰ τῶν ἄρθρων ῥεύματα ἁρμόζει· τὸ δὲ ἐξ αὐτῶν
ἄλφιτον, κοιλίας στατικόν· καὶ φλεγμονῆς πραϋντικόν:~

περὶ κρόκου·

Κρόκος· οἱ δέ, κάστωρ· οἱ δὲ κυνόμορφος· προφῆται
αἷμα ἡρακλέος· ἔστι γὰρ διουρητικὸς καὶ ἠρέμα στύ-
φων· διὸ καὶ πρὸς ἐρυσιπέλατα ποιεῖ περιχριόμενος
μεθ' ὕδατος· καὶ πρὸς ῥεύματα τῶν ὀφθαλμῶν καὶ ὤτων
καὶ τῶν ὁμοίων μετὰ γάλακτος, συμπλέκεται ταῖς κολλη-
ρίοις ὠτικοῖς στομαχικοῖς· ἔστι δὲ καὶ ἀκραίπαλος ἢ
ῥίζα δὲ τῆς φυούσης αὐτὸν πόας μετὰ γλυκέος πινο-
μένη, οὐρητικά· εἰσὶ δὲ πολλὰ μὲν εἴδη κρόκων· ἔστι
κωρύκιος· κιλίκιος· λύκιος· ὁ ἐξ αἰγαίων τῆς αἰολίδος·

Κυρηναῖος· σικελικός· ὁ θαψόδελος δὲ καὶ ἀνθωνίτης, κράτιστον πάντων· καὶ ἄξια τρικυάθων ἀπειρημένων ἁρμόδιος:~

περὶ κραταιώνου·

Κραταιόγονον· οἱ δὲ κραταιόγονον· φύλλα ἔχει ὅμοια τοῖς τοῦ μαλαμπύρου· πλείους ἀπὸ μιᾶς ῥίζης, φύονται βλαστοὶ γονατώδεις· καρπὸν ὅμοιον κέγχρῳ· φύεται ἐν συσκίοις καὶ φρυγανώδεσιν ὡς ἐπὶ πολὺ τόποις· ἰσχυρῶς δριμύ· ἱστορεῖται δὲ ὑπό τινων, ἡ πόσις τοῦ καρποῦ γυναιξὶ καὶ ἀρρενοτόκον ποιεῖ, ἀνύει μετὰ τὴν κάθαρσιν πρὸ τοῦ πλησιάσαι νῆστις πίνη τῆς ἡμέρας ὁλκὴν τριώβολον μεθ' ὕδατος κυάθων δύο ἐπὶ ἡμέρας μ'· ὡσαύτως καὶ ὁ ἀνὴρ πινέτω ταῖς ἴσαις ἡμέραις:~

περὶ κέστρου·

Κέστρον· τὸ καλούμενον ψυχότροφον, ἐπειδὴ ἐν τοῖς ψυχροτάτοις εὑρίσκεται τόποις· οἱ δὲ βεττονίκην· τοῦτο οἱ ῥωμαῖοι βεττονίκαμ καλοῦσι· οἱ δὲ οὐττωνίκα· καυλὸν ἔχει σφόδρα λεπτόν, πῆχυς τὸ ὕψος, ἢ καὶ μείζω· τετράγωνον· φύλλα μακρά, ὅμοια δρυΐ· τὴν περιφέρειαν ἐσχισμένα· εὐώδη μείζονα δὲ τὰ πρὸς τῇ ῥίζῃ· πρὸς ἄκρον δὲ τοῦ καυλοῦ ἐν ᾧ ἐστὶ τὸ σπέρμα, σταχυόμενον ὡς ἐπὶ θύμβρας· ταύτης τὰ φύλλα χρὴ συλλέγοντα ξηραίνειν· ὧν ἐστὶν ἡ πλείων χρῆσις· ῥίζας δὲ ὑπὸ λεπτάς, ὡς ἐλλεβόρου· αἵτινες φλέγμα τῷ ποσῶ κινοῦσι μετὰ ὑδρομέλιτος πινόμεναι· τῶν δὲ φύλλων διδόναι πρὸς σπάσματα, καὶ πρὸς τὰς ἐν ὑστέρᾳ διαθέσεις· καὶ πνίγας ὑστερικάς ∠ ὁλκῆς μεθ' ὑδρομέλιτος ἢ ὕδατος· θηριοδήκτοις δὲ ὁλκὰς τρεῖς, μετ' οἴνου κοτυλῶν β'· καὶ καταπλασσομένη ἡ πόα, ὠφελεῖ τοῖς θηριοδήκτοις· καὶ πρὸς τὰ θανάσιμα, ὁλκὴ μετ' οἴνου ποθεῖσα ἁρμόζει· ἀνὰ

δὲ τοῖς προπίνη, οὐδὲν βλαβήσονται, λαμβανόντες θανά-
σιμον· ἐστὶ δὲ διουρητικόν· κοιλίας τε χαλαστικόν·
θηρα πάλιν δὲ καὶ ἐπιληπτικούς· μαινομένοις με-
θύσαντες πινόμενον· καὶ τοὺς παραλυτικοὺς καὶ κωλικούς· μά-
λιστα τὸ ξὺν μέλιτος ὁλικῆς τραχείας πάθεσι· ποιεῖ δὲ καὶ
πίνειν ἀλλὰ δὲ τοῖς μετὰ τοῦ δὲ ὕπνου αὐτὸν αἱμουμά-
θος καταπίνει, μετὰ μάλιστα ἀφθοῦ· ὅμοια καὶ ὀξυρα-
γοῦσι· δίδοται δὲ στομαχικοῖς διαμασᾶσθαι, καὶ
καταπίνειν· ἀποροφεῖν τε κεκραμένον οἶνον· δίδο-
ται δὲ καὶ ἀσθματικοῖς, ὁλικῇ τρόφῳ μετὰ κεκραμέ-
νου κυάθου ἑνὸς γαλακτώδους ἢ χλιαροῦ· ἰσχιαδικοῖς
τε, μεθύσαντες καὶ ἀναφρητικοῖς· καὶ τοῖς τεινεσμῶ-
δεσι· ὑδρωπικοῖς, δὲ μετὰ ὑδρομέλιτος· ὑ-
στερικῶς ὁμοτε καθίστησι· κατεμήνια ἄγει, ὁλικὴ ἀπινο-
μένη μετὰ οἴνου· κοιλίαν τε, ὁλικῶς δὲ πάθεσι, καθαί-
ρουσι μεθ᾽ ὑδρομέλιτος κυάθων δύο· ποιεῖ καὶ πρὸς
φθισικούς· ἀσθματικοὺς μετὰ μέλιτος· ἀποτίθε-
σθαι δὲ δεῖ τὰ φύλλα, ξηρὰ λεῖα ἐν παραμιῶ ἀγγείῳ:-

περὶ κυπαίρου·

Κύπαιρος· οἱ δὲ ἀρυσίσκηπτρον· οἱ δὲ ἴσχναν· φύλλα
ἔχει ὅμοια κάρφω· ἀρτιφυῆ· ἰσχνά· καὶ καυλίον ὡς
σχίνου ἰσχνότερον· ἀπ᾽ ἄκρου δὲ σπέρμα ὡς κάχρυ· ῥί-
ζα ὡς ὀσ ἐλαίας μέλαινα ἀρωματίζοντα· δύναμιν ἔχει
θερμαντικήν· ἀναστομωτικήν· διουρητικήν· λι-
θιῶσι καὶ ὑδρωπικοῖς πινόμενον βοηθεῖ· καὶ σκορ-
πιοδήκτοις· καὶ ταῖς περὶ μήτραν περιψύξεσι καὶ
μύσασι πυριωμένη βοηθεῖ· ξηρὰ δὲ ἔμμηνα· ποιεῖ δὲ
καὶ τοῖς ἐν στόμασιν ἕλκεσιν ἐκθερμομένοις, ξηρὰ λεῖα·
μίγνυται, καὶ μαλάγμασι θερμαντικοῖς· καὶ εἰς τὰ
στύματα τῶν μύρων ἐπιθετέα :~

ἀρχὴ τοῦ λάμδα

περὶ λιθοσπέρμου

λιθόσπερμον· οἱ δέ, αἰγόνυχον· οἱ δέ, λεοντεῖον· οἱ δὲ γοργόνιον· οἱ δὲ τζουτζάλι· διὰ γὰρ τὴν περὶ τὸ σπέρμα ἰσχύν, καλοῦσι λιθόσπερμον· πλατύτερα καὶ μαλακώτερα κατὰ τὸν πυθμένα ἐπὶ γῆς κάμπτονται τὰ φύλλα· κλωνία τε ὀρθὰ ὡς σχοίνοις τε ξυλώδεσι παχέσι· ἐπὶ δὲ τῶν ἄκρων αὐτῶν δίχηλος ἔκφυσις· καυλοφόρος ἔχουσα φύλλα μακρά· παρ' οἷς σπέρμα λιθῶδες στρογγύλον λευκόν· ὀρόβου τὸ μέγεθος ὅμοια. φύεται ἐν τραχέσι τόποις· δύναμιν δὲ ἔχει τὸ σπέρμα πινόμενον χαυνοῦν θρύπτειν λίθους· καὶ οὖρα ἄγειν :~

περὶ λινοζώστιος

λινόζωστις θήλεια· οἱ δὲ θηλυγόνον· οἱ δὲ παρθένιον· οἱ δὲ Ἑρμοῦ βοτάνιον· φύλλα ἔχει ὅμοια ὠκίμῳ προσεμφερῆ τοῖς τῆς ἀλξίνης· ἐλάττονα δέ, κλωνία διγόνατα· μασχάλας πολλὰς πυκνὰς ἔχοντα· τὸν δὲ καρπὸν ἡ μὲν θήλεια βοτρυοειδῆ καὶ πολύν· ὁ δὲ ἄρρην πρὸς τοῖς πετάλοις μικρὸν στρογγύλον· ὥσπερ ὀρχίδια κατὰ δύο προσκείμενα· ὅλος δὲ ὁ θάμνος σπιθαμιαῖος ἢ καὶ μείζων· λινόζωστις ἄρρην· οἱ δέ, ἀργυρός, οἱ δὲ σκαρολάχανον· οἱ δὲ ἀγριτρυλλίς· οἱ δὲ παρθένιον· οἱ δὲ χρυσίτης· κοινῶς δὲ παρθενοῦδιν· κινοῦσιν ἀμφότεραι κοιλίαν λαχανευθεῖσαι· καθαίρουσι δὲ καὶ πινόμεναι μεθ' ὕδατος χολὴν καὶ ὑδατώδη· δοκεῖ μὲν τὰ τῆς θηλείας φύλλα πρὸς τὸ θερμανθὲν καὶ πινόμενα μετὰ τὴν κάθαρσιν τοῖς αἰδοίοις τῆς γυναικὸς σύλληψιν θηλειῶν ποιεῖν· τὰ δὲ τοῦ ἄρρενος ὁμοίως ἐπιτιθέμενα, ἀρρενογονεῖν :~

περὶ λιβανωτίδος

λιβανωτίς· οἱ δέ, ἰκταρίτην· φράγγοι, ἑφθαὶ ...

μαῖοι, ῥοῦς μαρῖνα· φύλλα δ᾽ ἔχει λεπτά· μικρά· στενά· πυκνά· ἐπιμήκη· ἰσχνά· ἔξωθεν δέ, χλωρά· καὶ βαρύοσμα· δύναμιν δ᾽ ἔχει θερμαντικήν, ἰκτέρου ἰαματικήν· ἀφ᾽ αὑτῆς ἀπόζεμα μεθ᾽ ὕδατος διδόμενον πρὸ τῶν γυμνασίων ἢ ἀκμαζόντων· καὶ οἴνῳ ποτίσῃ· μίγνυται δὲ καὶ ἀκόποις καὶ τοῖς λευκίνοις χρίσμασι· ὁ δὲ χυλὸς τῶν τῆς μετὰ ἐλαίου καὶ κηροῦ καὶ τερεβινθίνης καὶ ἀμμωνιακοῦ καὶ μαστίχης καὶ λιβάνου καὶ ῥοδίνου· ποιεῖ δὲ πρὸς τὰς πληγάς· ~

περὶ λευκοΐου·

Λευκόϊον· οἱ δέ, βασίλειον· ῥωμαῖοι, ὁ πολλοὶ ἄλβα· κοινῶς ἄγριον λαθύριον· φύλλα δ᾽ ἔχει ὅμοια μεγάλῳ πολυγόνῳ· καυλοὺς συνεχεῖς πηχυαίους· ἄνθη μήλινα· σπέρμα ἔχον κατὰ τὰ φασιόλου κεράτια· ἔστι δὲ αὐτοῦ διαφορὰ ἐν τοῖς ἄνθεσι· ἢ γὰρ λευκοῦ ἐστίν, ἢ μηλίνου· ἢ πορφυροῦ· ἢ κυανοῦ· ἔστι δὲ χρήσιμον πρὸς τὴν ἰατρικὴν χρῆσιν, τὸ χρήσιμον· οὗ τὰ ἄνθη ξηρὰ ἀποζεσθέντα, ἐγκαθίσματα ποιεῖ δὲ τὰς περὶ ὑστέραν φλεγμονάς· καὶ ἀγωγὰς ἐμμηνίων· ἀναληφθέντα δὲ κηρωτῇ ῥαγάδας τὰς ἐν δακτυλίῳ θεραπεύει· σὺν μέλιτι δὲ ἄφθας· ὁ δὲ καρπὸς αὐτοῦ ποθεὶς σὺν ὄξει, [illegible] [illegible]· καὶ ποδαγρικοὺς ὠφελοῦσι· ~

περὶ λυκίου·

Λύκιον· ὃ ἔνιοι πυξάκανθον καλοῦσι· δένδρον ἐστὶν ἀκανθῶδες· ῥάβδους ἔχον τριπήχεις· ἢ μείζονας· περὶ ἃς τὰ φύλλα· πύξῳ ὅμοια· πυκνά· καρπὸν δὲ ἔχει, ὡς πέπερι· μέλανα· πικρόν· λεῖον· τοῦ δὲ φλοιοῦ ὠχροῦ· ῥίζας πολλὰς πλαγίας· ξυλώδεις· φύεται δὲ πλεῖστον ἐν καππαδοκίᾳ· καὶ ἐν λυκίᾳ καὶ ἐν ἄλλοις τόποις· τραχέσι δὲ φιλοχωρεῖ· χυλίζεται δὲ τῶν φύλλων σὺν τοῖς θάμνοις θλασθέντων καὶ βραχέντων ἐφ᾽

ἱκανὰς ἡμέρας · εἶτα ἀφεψομένων καὶ τῶν ξύλων ἐκπο-
μένων · τοῦ δὲ ὑγροῦ πάλιν · ~~ποιεῖ καὶ τὰς πληγὰς πολυή-~~
~~μερον μετὰ ἀξουγγίου ὑείου καταπλασσόμενον καὶ ἐν-~~
~~γρὰς πιαίνει~~ · ἀφεψομένου μέχρι μελιτώδους συστάσεως ·
δολοῦσι δὲ ἀμόργης ἀφεψομένης καὶ μιγνυμένης ἀψινθίου
χυλίσματι · ἢ χολῇ βοείᾳ · καὶ τὸ μὲν ἐπινηχόμενον
ἀφρῶδες ἐν τῇ ἀφεψήσει ἀφελών, εἰς τὰ ὀφθαλμικά ·
τὸ δὲ λοιπὸν εἰς ποιὸ τήρει · γίνεται δὲ καὶ ἐκ τοῦ καρ-
ποῦ ὅμοιον χύλισμα ἐκπιεζομένου καὶ ἡλιαζομένου ·
ἄριστον δὲ κάλλιστον τὸ καιόμενον λύκιον καὶ κατὰ τὴν σβέ-
σιν · τὸν ἀφρὸν ἐνερευθής · ἔξωθεν δὲ μέλανα · διαιρε-
θὲν καὶ ἐρυθρόν · ἄβρωμον · στῦφον μετὰ πικρίας · κροκῶδες ·
οἷον ἐστὶν ἰνδικόν · διαφέρον τοῦ λοιποῦ · δυναμικώ-
τερον δέ · δύναμιν δὲ ἔχει στυπτικήν · καὶ τὰ ἐπισκοτοῦν-
τα ταῖς κόραις καθαίρει · καὶ ψώρας τὰς περὶ τὰ βλέ-
φαρα · καὶ κνησμούς · καὶ παλαιὰ ῥεύματα θεραπεύει ·
καὶ πρὸς ὦτα πυορροοῦντα · καὶ παρίσθμια · καὶ οὖλα
ἑλκούμενα · καὶ ἀκροπόσθια · καὶ σαρκία καὶ ῥαγάδας τὰς ἐν
δακτυλίῳ · καὶ παρατρίμματα ἐπιχριόμενον · ἁρμό-
ζει δὲ καὶ κοιλιακοῖς καὶ δυσεντερικοῖς πινόμενον · καὶ
ἐγκλυζόμενον · δίδοται καὶ αἱμοπτοϊκοῖς καὶ βήττου-
σι σὺν ὕδατι καὶ τοῖς ὑπὸ λυσσῶντος κυνὸς δηχθεῖσιν,
ἐν καταποτίῳ σὺν ὕδατι · ξανθίζει δὲ καὶ τρίχας · πα-
ρωνυχίας καὶ ἕρπητας καὶ σηπεδόνας, ἴσχει δὲ καὶ ῥοῦν
γυναικεῖον, προστιθέμενον · λέγεται δὲ καὶ τὸ ἰνδικὸν
λύκιον γίνεσθαι ἐκ θάμνου, τῆς λεγομένης λογχίτιδος ·
ἔστι δὲ εἶδος ἀκάνθης · ῥάβδους ἔχον, ὀρθάς, τριπή-
χεις ἢ καὶ μείζους · πολλὰς ἀπὸ τοῦ πυθμένος · πα-
χυτέρας βάτου · ὁ φλοιὸς ῥαγάς, ἐνερευθής · τὰ
φύλλα ὅμοια ἐλαίᾳ · καὶ ὑπὸ ἐν τῷ ἔξω ἀνθεῖ τε καὶ

λθ

ποτιζομένη, φλεγμονὰς σπληνὸς καὶ ἴκτερον θεραπεύει· καὶ κάθαρσιν γυναικείαν ἄγει· ὠμὰ σὺν λευκῷ ποθέντα, τὰ αὐτὰ ποιεῖ· παραδίδονται τοῦ σπέρματος μέστρα δύο ποθέντες ὕδατα τὰ δόσεις καθαίρει· καὶ θανασίμοις βοηθεῖ:—

περὶ λίνου·

Λίνον· οἱ δέ, λινοκάλαμις· οἱ δὲ ἄννον· οἱ δὲ λινοὶ ἄγριον· Ῥωμαῖοι, λινομμουρουμ· Γνώριμον· δύναμιν δὲ ἔχει τὸ σπέρμα, μαλακτικὴν δὲ πάσης φλεγμονῆς· ἑψηθὲν ἐκτὸς σὺν μέλιτι καὶ ἐλαίῳ καὶ ὕδατι ὀλίγῳ ἐπιτεθέν· ἢ ἀφεψηθὲν μέλιτι σὺν ἀλειφθέν· αἴρει δὲ καὶ ἐφήλεις καὶ ἰόνθους καταπλασθὲν σὺν νίτρῳ καὶ συκίνῃ κονίᾳ· καὶ παρωτίδας καὶ σκληρίας διαφορεῖ· ἄρτι πεπτεῖσα σὺν οἴνῳ ἐπιτεθὲν καὶ κηρία ἐκκαθαίρει· ὄνυχάς τε λεπροὺς ἀφίστησι, σὺν καρδάμῳ καὶ μέλιτι ἀττικῷ· αὐτὸ ἐκλεικτὸν ληφθὲν καὶ βῆχας παρηγορεῖ· παρίστησι δὲ καὶ πρὸς ἀφροδισία, μιγὲν μέλιτι καὶ πεπέρει αὐτὸ κοπεὶς πολὺ λαμβανόμενον· καὶ τὸ ἀφέψημα δὲ αὐτοῦ ἐνίεται πρὸς ἐντέρων καὶ ὑστέρας δηγμοὺς καὶ κομίζει περὶ πλώματος· καὶ φλεγμονὰς τὰς ἐν μήτρᾳ, ἐγκάθισμα, ὥσπερ τὸ τῆς τήλεως εὔχρηστον:—

περὶ λωτοῦ·

Λωτός· οἱ δὲ τρίφυλλον· οἱ δὲ τριπόδιον· οἱ δὲ τρίβοχον· Φράγγοι τερεμφολιουμ· φύλλα ἔχει ὅμοια δρακοντίᾳ· ἡδύνου φέρει ῥίζα στρογγύλη· πορφυρᾶ· ὁμοία ἡμιμαίρῳ κρομμύῳ· φύεται ἐν παραδείσοις· ὃς χυλισθεὶς καὶ μιγεὶς μέλιτι, ἀργέμα· καὶ φάλια· λευκώματα καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀποκαθαίρει:—

περὶ λυκοσκόρδου·

Λυκόσκορδον· οἱ δὲ ἀμπελόπρασον· οἱ δὲ ἀγριτίας·
οἱ δὲ ἀμακροτίς· κακοστομαχώτερον μὲν τοῦ τε
τοῦ πράσου· φαρμακτικώτερον δὲ καὶ διουρητικόν·
καταμηνίων καὶ θηριοδήκτοις ἐσθ βιβρωσκόμενον ἁρ-
μόζει :~ **περὶ λεοντοπετάλου·**

Λεοντοπέταλον· οἱ δὲ λεοντοπόδιον· οἱ δὲ μηκωνικὰ
ῥαπίτης· οἱ δὲ ἀνεμώνην· οἱ δέ, λιχνὺς ἀγρία·
φράγγοι, τζαυτζιγάλλια· φύλλα ἔχει ὅμοια ἀγριανεμώνη·
καυλὸν σπιθαμιαῖον· ἄνθος φοινικοῦν· φύεται ἐν ἀ-
ρούραις· ταύτης ἡ ῥίζα (οἴνῳ) πινομένη, βοηθεῖ καὶ ἑρπε-
τοδήκτοις· ταχέως ἀπόνους ποιοῦσα· μίσγεται
δὲ καὶ εἰς τοὺς ἰσχιαδικοὺς ἐγκλυσμούς :~

περὶ λυχνίδος·

Λυχνὶς στεφανωματική· οἱ δὲ ἀθάνατος· οἱ δὲ γερα-
νοπόδιον· οἱ δὲ ταύεξον· ἔοικε τοῖς κλωνοῖς ἀτρι-
ουχεθρίδιν· ἄνθος ἔχον ἀσταροειδές· πορφυροῦν·
ὅς τὸ σπέρμα, βοηθεῖ σὺν οἴνῳ ποθὲν σκορπιο-
πλήκτοις :~ **περὶ λυχνίδος ἀγρίας·**

Λυχνὶς ἀγρία· ὁμοία τῇ πρὸ αὐτῆς ἡμέρῳ· οἱ δέ,
λαμπάς· οἱ δὲ ἀτούζον· τὸ δὲ σπέρμα αὐτῆς δραχμῶν
δύο πλῆθος ποθέν, ἄγει κάτω χολώδη καὶ
σκορπιοπλήκτοις ἁρμόζει· φασὶ δὲ καὶ τοὺς σκορπί-
ους παρατεθείσης αὐτῆς, ναρκώδεις καὶ ἀπράκτους
γίνεσθαι :~ **περὶ λευκακάνθου·**

Λευκάκανθα· οἱ δὲ πολυγόνατον· οἱ δὲ φύλλον· οἱ δὲ
ἰσχάδα· τούτου ἡ ῥίζα ὁμοία κυπέρῳ· πικρὰ ἰσχυ-
ρῶς· ἣ τοῖς μασηθεῖσα, ὀδονταλγίας παραμυθεῖ-
ται· ἄνθος πορφυροῦν ὅμοιον τῇ ἀγρίᾳ κινάρᾳ· τοῦ
δὲ ἀποζέματος τῆς ῥίζης σὺν οἴνῳ κυάθων τριῶν
ποθέντος, βοηθεῖ πλευριτικοῖς χρονίοις· καὶ ἰσχι-

ποιεῖ καὶ εἰς πληκτικὸν
πολυκόμαρον μετὰ
ἀξουγγίου ~ τοῦ
καταπλασσόμενον
καὶ ψώρας πάσης·

δϊτικοῖς · ῥήγμασι · σπωμένοις · καὶ ὁ χυλὸς τῆς ταὐ (αὐ)
τὰ ποιεῖ πινόμενος :~

περὶ κιβυστικοῦ ·

λ Κιβυστικόν · οἱ δὲ πανακίσαν(?) · δύναμιν δὲ ἔχει τὸ σπέρ-
μα καὶ ἡ ῥίζα θερμαντικὴν πινομένη · ἁρμόζουσα
πρὸς τὰ ἐντὸς ἀλγήματα · καὶ ἐμπνευματώσεις · μάλι-
στα τὰς περὶ τὸν στόμαχον · καὶ θηρίων πληγάς · ἄγει
καὶ οὖρα καὶ ἔμμηνα πινομένη · καὶ πρὸς ἀποτιθεμένη(?)
ἡ ῥίζα τὰ αὐτὰ ποιεῖ · μίγνυται δὲ τὸ σπέρμα καὶ
ἡ ῥίζα χρησίμως τοῖς ὀξυπόροις · καὶ πεπτικοῖς
συνθέμασι · ἔοικε δὲ τὸ σπέρμα αὐτοῦ μαραθρώδες :~

περὶ κοχλίτιδος ·

λ Κοχλίτης · οἱ δὲ κάστρον(?) μησοῦται(?) · φύλλα ἔχει πλατυ-
κάρπου πράσου ὅμοια · ἢ κρίνου πορφυροῦ · πλείοσι(?)
τῷ τύπῳ προσώποις κεχηνόσι μέν · λευκοῦ δὲ τῆς ἀπ'
αὐτῶν ἐξοχῆς ἀπὸ τοῦ χάσματος · πρὸς τὸ κάτω ἔχει
χη ὥσπερ γλωσσάριον · σπέρμα δὲ ὥσπερ λόγχη τρί-
γωνον ἐν περικαρπίοις · ὅθεν καὶ τῆς προσωνυμίας
ἠξιώθη · ῥίζα ὁμοία σκίλλῃ · φύεται ἐν τραχέσι καὶ
ἐνίκμοις τόποις · ταύτης ἡ ῥίζα διουρητικὴ πι-
νομένη σὺν οἴνῳ :~

λ περὶ κοχλίτιδος ἀγρίας

Κοχλίτης ἀγρία · οἱ δέ, λογχίτην τραχεῖαν · φύλλα αὐ-
τοῖ ὅμοια σκολοπενδρίῳ · τραχύτερα δὲ καὶ μεί-
ζονα καὶ μᾶλλον ἐσχισμένα · δύναμιν δὲ ἔχει τραυματικὴν
ἀφλέγμαντον · τινὲς δὲ καὶ σπλῆνα μετ' ὄξους πινο-
μένην :~

περὶ λυσιμαχίου ·

Λυσιμάχιος · οἱ δὲ λύτρον(?) · πόα καυλοὺς ἀναδιδοῦσα πηχιαί-
ους καὶ μείζονας · λεπτοὺς θαμνοειδεῖς · ἐν παρὰ τὰ
γόνατα, φύλλων λεπτῶν ἀκμαίοις, παραπλήσια

τοῖς ἰησὶ τε· τὰ φύλλα αὐτοῦ λεῖα μετὰ μέλιτος ποιεῖ δὲ καὶ μυκτῆρσι, ἤτοι φοινικαῖς· θάμνος ἐστὶν ἀπαλ-ῥίζου τε· στύφον τε τῇ γεύσει· ἄνθος πυρροῦ χρυσοειδές· φύεται ἐν ἀλσώδεσι τόποις καὶ παρὰ τὰ ὕδατα· ἁρμόζει δὲ ὁ χυλὸς τῶν φύλλων στυπτικὸς ὤν, πρὸς αἵματος ἀναγωγὰς καὶ δυσεντερίας· πόμα καὶ ἐγκλύσματα γυναικείων ἀφίστησιν ἐν προσθέτῳ· καὶ τὰς ἐκ μυκτήρων αἱμορραγίας ἐν τῇ πλασσομένῃ ὑπόθεσιν· ἔστι δὲ καὶ τραυματικὴ καὶ ἴσχαιμος· θυμιαθὲν δὲ, δριμύτατον ἔχει τὸν καπνόν· ὥστε καὶ ὄφεις παντοίους καὶ μύας ἀποκτείνειν :~

περὶ λειμωνίου·

Λειμώνιον· οἱ δὲ νευροειδές· οἱ δὲ λογχῖτις· οἱ δὲ ναπυόνιον· τὰ μὲν φύλλα ἔχει ὅμοια σεύτλῳ· λεπτότερα δὲ καὶ μακρότερα καὶ πλείω· καυλὸν ὡσεὶ λαπάθου· ὄρθιον· ἴσον ὥσπερ κρίνου· πλήρη τε καρποῦ ἐρυθροῦ· στύφον τῇ γεύσει· χυλὸς δὲ ὁ καρπὸς λεῖος σὺν οἴνῳ ποθεὶς ὀξυβάφου πλῆθος, δυσεντερικοὺς καὶ κοιλιακοὺς ὠφελεῖ· ῥοῦν τε ἐρυθρὸν γυναικῶν ἀφιστάνει· φύεται δὲ ἐν λειμῶσι τόποις καὶ ἀλσώδεσι τόποις :~

περὶ λειχῆνος·

Λειχὴν ὁ ἐπὶ τῶν πετρῶν· οἱ δὲ βρύον· βρύον ἐστὶ προσεχόμενον ταῖς ἐνδρόσοις πέτραις· τοῦτο καταπλασσόμενον, αἱμορραγίας ἵστησι καὶ φλεγμονὰς παραιτεῖται καὶ λειχῆνας θεραπεύει· ὠφελεῖ δὲ καὶ ἰκτερικοὺς μετὰ μέλιτος διαχριόμενον :~

περὶ λαθυρίδος·

Λαθυρίς· τοῦτο γνώριμον· ἔχει δὲ σπέρμα καθαρτικὸν κοιλίας· τὸ σπέρμα ὅσον ζ΄ ἢ ὀκτὼ τῷ ἀριθμῷ λαμ-

βαλανόμενα λεῖα καὶ καταποτίων ἀναθιόμενα καὶ καταπινόμενα, ὕδατος ψυχροῦ ἐπιρροφουμένου. ἄγει δὲ φλέγμα καὶ χολὴν καὶ ὕδωρ. καὶ ὁ ὀπὸς δὲ ἀναληφθεὶς, ὥσπερ ὅτι θερμαίνει τὰ αὐτὰ ποιεῖ. σκευάζεται δὲ ὀρνιθὶ ἢ χαμαιλέων ὡς τὰ φύλλα πρὸς τὴν αὐτὴν ἐνέργειαν:~

περὶ λυκοψίδος:

Λύκοψις· οἱ δὲ ἄγχουσα· ἡ ῥίζα αὐτῆς καταπλασσομένη μετ' ἐλαίου, ἱδρῶτας κινεῖ· μετὰ δὲ ἀλφίτου δὲ ἐρυσιπέλατα ἰᾶται:~

περὶ λαγώποδος

Λαγώπους· οἱ δὲ λαγωκύμινον· γνώριμον· δύναμιν δὲ ἔχει σταλτικὴν κοιλίας, πινόμενον μετ' οἴνου· ἐπὶ δὲ τῶν πυρεσσόντων μεθ' ὕδατος· περιάπτεται δὲ καὶ πρὸς φλεγμονὴν βουβώνων· φύεται ἐν πρασιαῖς:~

ἀρχὴ τοῦ Μ

περὶ μήκωνος·

Μήκων ἡ ἥμερος κηπαῖος· κοινῶς κωδύα· οἱ δὲ μήκωνα ἄγριος· οἱ δὲ μήκων μέλας· οἱ δὲ χαμαισύκην· οἱ δὲ μήκων ῥοιάς· οἱ δὲ ὀξύτονον· ῥωμαῖοι, παπάβερ· φράγγοι παπάβερε· ἡ μέν τις αὐτῶν, ἀγρία, ἡ ἥμερος καὶ κηπευτή· ἧς τὸ σπέρμα εἰς ἄρτον ποιοῦσι εἰς τὴν ὑγιεινὴν χρῆσιν· καὶ σὺν μέλιτι δὲ, ἀντὶ σησάμου αὐτῇ χρῶνται· καλοῦσι δὲ θυλακῖτιν· ἐπιμήκη ἔχουσα τὸ κεφάλιον καὶ τὸ σπέρμα λευκόν· ἡ δὲ τρίτη ἀγρία, ἀγριωτέρα καὶ ἔχει τὴν κωδύαν· ἐπιμήκη· κοινὴ δὲ αὐτῶν δύναμις· ψυκτική· ὅθεν τὰ φύλλα καὶ αἱ κωδύαι καθεψηθεῖσαι ἐν ὕδατι καὶ προσαντλούμεναι, ὕπνον ποιοῦσι· πίνεται δὲ καὶ πρὸς ἀγρυπνίαν τὸ ἀφέψημα· καὶ εἰς καταπλάσματα δὲ λεῖαι αἱ κωδύαι μετὰ ἀλφίτου,

πρὸς φλεγμονὰς καὶ ἄρτι πύλα τε μιγνύμεναι, ἁρμό-
ζουσαι· δεῖ δὲ κόπτοντες αὐτὰς χλωρὰς, ἀναπλάτ-
τειν δὲ τροχίσκους· καὶ ξηραίνοντες ἀποτίθεσθαι·
καὶ οὕτω χρῆσθαι· καθεψηθεῖσαι δὲ αἱ ῥίζαι μέχρις
οὗ ἂν συστραφῇ τὸ ὕδωρ, ποιοῦσι φάρμακον ἀνώδυ-
νον ἐκλεικτόν· πρὸς βῆχας καὶ ῥευματισμοὺς ἀρ-
τηρίας καὶ κοιλιακὰς διαθέσεις· εὐεργετοῦσι δὲ μί-
γνυται διδόντες αὐτῷ ὑποκυστίδος χυλοῦ καὶ ἀκακίας·
τὸ δὲ σπέρμα τῆς μελαίνης μήκωνος· λεῖον ποτίζομενον
σὺν οἴνῳ, ῥευματικοῖς ἴασθαι· καὶ γυναικεῖον ῥοῦν· κα-
ταπλάττεται δὲ ἐν ὕδατι ἐπὶ τῶν ἀγρυπνούντων,
ἐπὶ τοῦ μετώπου καὶ τῶν κροτάφων· ὁ δὲ ὀπὸς καὶ
αὐτὸς ψύχων ἐπὶ πλέον καὶ παχύνων καὶ ξηραίνων
ληφθεὶς ὅσον ὄροβος ἀνώδυνος καὶ πεπτικὸς βοηθῶν
βηξὶ καὶ κοιλιακαῖς διαθέσεσι, πλέον ποθεὶς βλά-
πτει· ξύει δὲ ληθάργους καὶ ἀναιρεῖ· ποιεῖ καὶ κεφαλαλ-
γοῦσι, σὺν ῥοδίνῳ ἐμβρεχόμενος· ὠταλγοῦσι δὲ
σὺν ἀμυγδαλίνῳ· καὶ κρόκῳ σμύρνῃ ἐμβρεχόμενος·
ἐπὶ δὲ φλεγμονῆς ὀφθαλμῶν· σὺν λεκίθου ὠοῦ ὀ-
πτῆς καὶ κρόκῳ· καὶ πρὸς ἐρυσιπέλατα δὲ καὶ τραύμα-
τα, σὺν ὄξει· ποδάγρας τε σὺν γάλακτι γυναικείῳ·
καὶ προστιθεὶς δὲ δακτυλίῳ ἀντὶ βαλανίου ὕπνον
ποιεῖ· κράτιστος δέ ἐστιν ὁ ὀπὸς ὁ πυκνὸς καὶ βαρύς· καὶ
δὲ τῇ ὀσμῇ καρωτικός· πικρὸς ἐν τῇ γεύσει· εὐχερῶς τε
διειμένος ὕδατι· λεῖος· λευκός· οὐ τραχὺς ἐν τῷ τρυφό-
μενος ἐν τῷ διηθεῖσθαι ὡς κηρός· ἐν τῷ ἡλίῳ τιθεὶς
διαχεόμενος· καὶ πρὸς λύχνον ἀναπτόμενος, ζο-
φώδει φλογὶ φυλάσσων μετὰ τὸ σβεννύσθαι ἐν τῇ
ὀσμῇ δύναμιν· δολοῦσι δὲ αὐτὸν, μιγνύντες γλαυ-
κίου τῇ κόμμι θρίδακος· ἀλλὰ δὲ ὁ μὲν ἐν τοῖς γλαυκίου

κρουκίζων ἐν τῇ γεύσει· ὅσπερ ἐστὶ θρύπτικος, ἀλλ' ἐξ-
τηλος τῇ ὀσμῇ καὶ τραχύτερος· καὶ ὁ ἐκ τοῦ κόμμεος
δὲ ἄγονος καὶ διαυγής· ἐνίοι δὲ εἰς τοσοῦτον ἔρχονται,
ὡς καὶ στέαρ παραμιγνύειν αὐτῷ· φασὶ δὲ ὀφ-
θαλμικά, ἢ ποτὸς ῥαίνου καινοῦ, ἕως ἂν μαλακὸς καὶ
κιρρὸς φανῇ· ἀρεστὸς δὲ ὁ μέλας τι, διαγόρας φησὶν
ἀποδοκιμάζειν τὴν χρῆσιν, ἐπὶ τῶν ὠταλγιῶν· καὶ
ὀφθαλμικῶν· διὰ τὸ ἀμβλυωτικὴν εἶναι καὶ καθαρ-
τικόν· ἀνδρέας δὲ φησιν, ὅτι εἰ μὴ ἐδολοῦτο, ἐ-
τυφλοῦντο ἂν οἱ ἐγχριόμενοι ὑπ' αὐτοῦ· τὴν κατὰ
σφρησιν εἰς ὕπνον ἁρμόζουσαν· ἄλλως δὲ ἐπιβλα-
βῆ τυγχάνειν· ἀπειρίας δὲ ἀνάγκῃ· καὶ γὰρ παραπλήσια χαυ-
τό, ἐγχρησον ποιεῖν· ἀργοῖς δὲ καὶ μαζομένοις, τῆς
τοῦ αἵματος ἐνεργείας· οὐκ ἄτοπον ὑπογράψαι
καὶ τὸν τρόπον, ᾧ τὸν ὀπὸν συλλέγουσιν· ἐνίοι μὲν
οὖν ταῖς κωδύαις μετὰ τῶν φύλλων συγκόπτοντες,
ἐκθλίβουσι διὰ πιεστηρίου· θλίβοντες ἐν θυΐᾳ,
καὶ ἀναπλάττοντες τροχίσκους· καλεῖται δὲ τὸ
τοιοῦτον μηκώνιον· ἀσθενέστερον τοῦ ὀποῦ· ὀπί-
ζοντες δὲ, μετὰ τὸ τὰς δρόσους ἀνικμασθῆναι
καὶ περιγράφειν μαχαιρίῳ τὸν ἀστερίσκον, ὡς μὴ
εἰς τὰ ἐντὸς διατρῆσαι· καὶ ἐκ πλαγίων δὲ τὰς κωδύας
εὐθέως ἐντέμνειν, ἀξιοπιλοτικῆς· καὶ δεῖ ἅπτεσθαι τὸ ἀπερ-
χόμενον, πάλιν ἐπιπορεύεσθαι· εὑρίσκεται δὲ καὶ τοῦ-
το ἐν θυΐᾳ θλιβέν καὶ ἀποτίθεσθαι ἀναπλάσαντας.
ἐνιότε τῷ τέμνειν, ὀπίσω δὲ ἀναχωρεῖν, πρὸς τὸ μὴ
ἅπτεσθαι τῶν ἱματίων τὸν ὀπόν:~

περὶ μήκωνος ἀγρίας·

Μήκων, ῥοιὰς ἀγρία· οἱ δὲ μάκων· οἱ δέ, ὀξύτονον· ὠ-
νόμασται δὲ διὰ τὸ ταχέως τὸ ἄνθος ἀποβάλλειν· φύ-

κῖται δὲ ἐν κριθαῖς, ἔαρος ὅτε καὶ συλλέγεται· ἄν-
θος φοινικοῦν· καυλόν, σχοινώδη· ὀρθόν· τραχύ·
ἐνίοτε δὲ καὶ λευκόν· ὅμοιον τὸ τῆς ἀγρίας ἀνεμώνης·
κεφαλὴ δὲ προμήκης· ἐλάττων μέντοι ἢ τῆς ἀνεμώνης·
καρπὸς πυρρός· ταύτης κεφάλια ε ἢ ς· μετ' οἴ-
νου κυάθων τριῶν ἀφεψηθέντα ὡς εἰς δύο στῆναι, πότι-
σον οὓς ἂν βούλει ὑπνῶσαι· τοῦ δὲ σπέρματος ὅσον
ὀξυβάφου ποθὲν σὺν μελικράτῳ, κοιλίαν ἠπίως
μαλάσσει· τῆς αὐτῆς δὲ φύλλα σὺν ταῖς κωδίαις
καταπλασθέντα, φλεγμονὰς ἰᾶται· καὶ τὸ προσ-
άντλημα δὲ αὐτῶν ἀποζεσθὲν ὑπνοποιόν ἐστιν:~

περὶ μήκωνος ἀφρώδους·

Μήκων ἀφρώδης ἡ μὲν ἡρος· οἱ δὲ ἡράκλειον· καυλὸν ἔχει
σπιθαμιαῖον· φύλλα μικρά· στρουθίῳ ἐοικότα·
καρπὸς παρ' αὐτοῖς λευκὸς καὶ ἀφρώδης· ταύτης ὁ καρ-
πὸς συλλέγεται, ὅταν τελείως ἀδρυνθῇ θέρους· καὶ
ξηρανθείς, ἀποπίεσῃ· καθαίρει δι' ἐμέτους ὀξυ-
βάφου πλῆθος σὺν μελικράτῳ λαμβανόμενος·
ἰδίως δὲ ἡ τοιαύτη κάθαρσις, ἐπιληπτικοῖς ἁρ-
μόζει:~

περὶ μήκωνος κερατίτιδος·

Κήκων κερατῖτις· οἱ δὲ παράλιον· οἱ δὲ θαλάσσιον·
ἢ δὲ ἀγρίαν μήκωνα· φράγοι, ὡς πασδαίκτη πάθο-
λομαίη· φύλλα ἔχει λευκά· δασέα· ὅμοια φλόμῳ·
πεπρισμένα τὴν περιφέρειαν· ἄνθος ὠχρόν· κα-
μπύλον· ὥσπερ κέρας, ὅμοιον τῷ τῆς τήλεως·
σπέρμα δὲ μικρόν· ~~ἄνθος ὠχρόν~~· μέλαν· ὅμοιον τῷ
τῆς μήκωνος· ῥίζαν δ' ἔξω ἐπιπολῆς φερομένην μέλαιναν
παχεῖαν· φύεται ἐν παραθαλασσίοις τόποις· δύ-
ναμιν δὲ ἡ ῥίζα ἔχει ἀφεψηθεῖσα μεθ' ὕδατος ἄχρι ἡ-
μίσους καὶ ποθεῖσα, ἰσχιαδικοὺς καὶ ἡπατικοὺς δια-

θλάσεις θεραπεύειν· καὶ τοῖς παχέα καὶ τραχέα ἰσχουροῦ-
σιν ὠφελεῖ· τὸ δὲ σπέρμα ποθὲν πλῆθος ὀξυβάφου
σὺν μελικράτῳ, κοιλίαν ἐπιεικῶς καθαίρει· τὰ δὲ
φύλλα καὶ τὰ ἄνθη ἁδρὰ περιρρηθέντα, καταπλασ-
θέντα σὺν ἐλαίῳ· ἀποχριασθέντα δὲ ἀπὶ κλινῶν, ἀφ-
ελόντα καὶ ναφύλλα ἀποκαθαίρει· ἔνιοι δὲ ἀπλανῆ
θηρίων νομῆ ... ἐκ ταύτης τὸ γλαύκιον γενέσθαι
διὰ τὴν τῶν φύλλων ἐμφέρειαν·

περὶ μαλιαοφύλλου·

Μαλιαοφύλλου· οἱ δὲ μεγαζεον· οἱ δὲ πετραῖον· οἱ δὲ
μελάμπυρον· οἱ δὲ μυόθηρον· ὅμοιον πετραίος ἀσπά-
ραγος, ἀμέλει τι ἄφθος ἐστὶ δὲ μύαγρον γινωσκόμενον
τῶν καυλῶν ἀποθειωθέντων καὶ βρωθέντων κοιλίαν μαλά-
σσει καὶ οὖρα κινεῖ· τοῦ δὲ ῥιζῶν τὸ ἀφέψημα πινό-
μενον, βοηθεῖ δυσουροῦσι· καὶ ἰσχιαδικοῖς· ἰκτε-
ρικοῖς· φαλαγγιοδήκτοις δὲ μετὰ οἴνου τοῦ ἀφε-
ψήματος· ποιεῖ δὲ πρὸς τὰ αὐτὰ καὶ τὸ σπέρμα·
φασὶ δὲ καὶ τὸ ἀφέψημα αὐτοῦ πινόντας θνήσκειν·
τὸ μαλιαοφύλλου κρεμάμενον ἐν ἀργαστηρίοις ὡς
φασί τινες, πόρον πολὺν παρέχει τοῖς ἐργαστηρίοις·
ἔνιοι δὲ ἱστόρησαν, αὐτὸς κριοῦ κεράτων κατορυχθῆ,
φύεται ἀσπάραγος·

περὶ μαλάχης κηπαίας·

Μαλάχη κηπαία· ῥωμαῖοι, μάλβα ὀρτένσις· πυθαγόρ-
ας ἀνθέμα· ζωροάστρις, διάδυσμα· ἀγρία μαλάχη χερ-
σαία ἢ ἀγρία· οἱ δὲ ἡλιότροφον· οἱ δὲ λακάθρα· οἱ
δὲ ἑτερόφυλλον· ἐδωδιμωτέρα μᾶλλον ἡ κηπευτὴ τῆς
χερσαίας· κακοστόμαχος δὲ καὶ εὐκοίλιος καὶ μᾶλλον οἱ
καυλοί· ἀπὸ δὲ τοσούτης μαλάχης τὰ φύλλα λεῖα τοῖς
πτύραις ἐπιθετὰ καὶ τὰ ἕλκη τὰς· καὶ εὐθὺς ἄρον· ἀπαλή

τὴν μήτραν αὐτῆς ἐκτινάσσει. ξὺν τυροῖς δὲ καὶ κύστει ὠ-
φέλιμον. Δενάρμυν [?] δὲ ἄχουσι τὰ φύλλα αὐτῶν,
ὠμὰ καταπλασθέντα μετὰ ἄλλων ὀλίγων, αἰγί-
λωπας συνασουλίζουσι [?] καὶ σοῦ μάλιστα. πρὸς μὲν τὰ
τῆς ἀπουλώσει, δίχα τῶν ἄλλων χρησάον αὐτῇ. ποιεῖ
καὶ πρὸς μελισσῶν καὶ σφηκῶν πληγὰς καταπλασσό-
μενα. καὶ εἰ παραχρίσῃ τις δὲ ὅλης αὐτὴν λείαν σὺν ἐλαίῳ,
ἄπληκτος διαμένει. μετὰ δὲ οὔρου καταπλασθέντα,
ἰχῶρας καὶ πίτυρα ἰᾶται. ἀφεψηθέντα δὲ τὰ φύλλα λεῖα
σὺν ἐλαίῳ ἐπιτιθέμενα, πυρίκαυστα καὶ ἄρτι πά-
χανται ὠφελεῖ. τὸ δὲ ἀφέψημα αὐτῆς, μαλακτικὸν ὂν ἀ-
γκάθισμα ὑστέρας, [illegible] τὰ ξυάματα. πρὸς δὲ ἡτμοὺς ἐν-
τέρων καὶ μήτρας καὶ δακτυλίου ἁρμόδιον. καὶ πρὸς
ἰσχιαδικοὺς καὶ νεφριτικοὺς σὺν ἐλαίῳ καὶ μάλιστα καὶ
λᾶσιν. ὁ δὲ ζωμὸς σὺν ταῖς ῥίζαις ἑψηθεὶς, βοηθεῖ πι-
νόμενος πᾶσι τοῖς θανασίμοις. ἀξυροῦ [?] δὲ ὄξει, σωμα-
χὸς πίνοντες. ὠφελεῖ δὲ φαλαγγιοδήκτοις. καὶ
γάλακτα [illegible]. ὁ δὲ καρπὸς μιγεὶς τοῖς ἀντιδότοις τοῦ
θηρίου σπέρματος, καὶ πινόμενος μετ᾽ οἴνου, τὰ ἐπι-
ρίωσιν διὰ γνώματα παύει.~

περὶ μαράθρου

Μάραθρον· οἱ δὲ, ἱππομάραθρον. ῥωμαῖοι, φαινί-
κλουμ. αὕτη ἡ πόα ἐσθιομένη χλωρὰ, γαλακτο-
ποιεῖ. καὶ τὸ σπέρμα δὲ πινόμενον ἢ συνεψόμενον
πτισάνῃ. καὶ τὸ ἀφέψημα δὲ τῆς πόας ποθὲν νε-
φριτικοῖς δὲ καὶ τοῖς παρικῦσιν [?] χρήσιμον ὡς δι-
ουρητικὸν ὑπάρχον. ἀρμόζει δὲ ἑρπετοδήκτοις δίδοται πινό-
μενον σὺν οἴνῳ. καταμήνια ἄγει. ἐν πυρετοῖς τὸ
ναυσίαν. καὶ λύσιν καὶ λύξιν. στομάχου παραστάσεις,
μετὰ ψυχροῦ ὕδατος πινόμενον. αἱ δὲ ῥίζαι σὺν

μέλιτι λεάνας καταπλασθεῖσα, κυνόδηκτα θεραπεύουσιν. ὁ δὲ χυλὸς τῶν καυλῶν καὶ τῶν φύλλων ἐκθλιβείς, καὶ ἐν ἡλίῳ ξηρανθείς, εἰς τὰ ὀφθαλμικὰ ὅ τε πρὸς ὀξυδορκίαν συντιθέασι, χρήσιμος· ἀναχυλίζεται δὲ πρὸς τὰ αὐτά. καὶ τὸ σαρ μᾶλλον ἐν σὺν τοῖς ἄλλοις ἑκάστοτε· καὶ ἡ ῥίζα κατὰ τὴν πρώτην ἐκβλάστησιν· ἔνιοι δὲ τῇ πρὸς τὴν ἄπυρον ἰβηρίαν, καὶ ὁπὸν αὐτῆς ποιοῦσιν ὅμοιον κόμμι· ἀποθερίζοντες τὰς ἐν τῇ ἀνθήσει ἀκμάζουσας τῶν καυλῶν τῶν ἐπιχωρίων, καὶ παρατιθέντων πυρί, ἵνα τῆς θερμασίας οἱ ἀφροὶ στρωθῶσιν, ἀξάξῃ τὸ κόμμι. ἄριστα δὲ ἐνεργεῖ τούτου ὁ χυλός, πρὸς τὰ ὀφθαλμικά :~

περὶ μυὸς ὠτίδος·

Μυὸς ὠτίς· οἱ δὲ μυόωτον· οἱ δὲ ἀνθήλιον· οἱ δὲ μυόχορτον, ἀπὸ τοῦ ἔχειν μυὸς ὠσὶν ὅμοια τὰ φύλλα· ἀλσίνη δέ, διὰ τὸ σκιαροὺς καὶ ἀλμυρώδεις ἀγαπᾶν τόπους· πάνυ ὁμοία ἑλξίνῃ· ταπεινοτέρα δὲ καὶ μικροφυλλοτέρα· δύναμιν ἔχει ψυκτικήν· ἁρμόζουσα, πρὸς φλεγμονὰς ὀφθαλμῶν, καταπλαττομένη μετὰ ἀλφίτων, καὶ πρὸς ὠτόπονον ὁ χυλὸς αὐτῆς ἐνσταζόμενος :~

περὶ μυρίκης·

Μυρίκη· ῥωμαῖοι τραυσμαρύκουμ· γνώριμον· ἐν ὑγροῖς τόποις φυομένη· φέρει καρπὸν ὡς ἄνθος βρυώδη κατὰ τὴν σύστασιν· ἔστι δὲ ἐν Αἰγύπτῳ, ὅμοια κηκῖσι· τὸ ἀφέψημα δὲ αὐτῶν περιχυθέν, ποιεῖ φθεῖρας καὶ κονίδας· καὶ ἄξων θάνουσι τὸ ξύλον, καὶ σπληνικοῖς χρήσιμα :~

περὶ μυρρίδος·

Μυρρίς· οἱ δὲ μύρραν· οἱ δὲ κονίλην· τὸν καυλὸν καὶ

τοῖς φύλλοις, ἀοικὸς κονίῳ· ῥίζαν δὲ ἔχει ὑπο-
μήκη· ἁπαλήν· περιφερῆ· δύναται βρωθεῖσα ἢ αὐ-
τῆς πινομένη σὺν οἴνῳ, φαλαγγιοδήκτοις
βοηθεῖ· καθαίρει καὶ ἔμμηνα καὶ λοχεῖα καθαρτική
δὲ ἐστὶν ἐν ῥοφήμασιν ὠφελίμως· φασὶ καὶ ἐσθίεσ-
ται· ἱστοροῦσι δέ τινες ἐνίους αὐτὴν καθ' ἡμέραν
πίνοντας δὶς ἢ τρὶς σὺν οἴνῳ· καὶ τὰς ἐξ ὄχλοις μυήσεως
διαστάσεσι βοηθεῖν, πρὸς τὸ ἄνοσμον εἶναι:-

περὶ μηδίου·

Μήδιον· οἱ δὲ μηδική· οἱ δὲ τρίφυλλον· οἱ δὲ κυβού-
λιον· οἱ δὲ κλημάτιον· κοινῶς δριμύλαστον· ἀ-
ρχόμενον δ' ἄρτι φυομένη, τριφύλλῳ τὴν ἐμφέρειαν·
ἐξ ἴσω προϊοῦσα δὲ, στενόφυλλος γίνεται· καυ-
λοὺς ἀνίησιν· ὅμοιον τῷ προειρημένῳ τριφύ-
λλῳ· ἀφ' οἷς ἀπὸ ῥίζης πρὸς τὴν φύσιν, φακοῦ μέ-
γεθος προσανειλημένον ὡς κεράτιον· ὅπερ ξη-
ρανθὲν, μίγνυται ἡδυσμάτος χάριν τοῖς ἄρτοις·
χλωρὸν δὲ ἀρτυθὲν, ὠφέλιμον, πρὸς τὰ ἐν τάξει σ-
ώμενα:-

περὶ μελιλώτου·

Μελίλωτον· οἱ δὲ ζωοσδότιον· οἱ δὲ ὀρθάνου· καυ-
λία ἀνίησι πηχιαῖα τρία ἢ τέσσαρα· φύλλα
παραπλήσια τριφύλλῳ· ἄνθος κηρόν ὡς ἀπ'
ἄκρων τῶν κλώνων λευκοί καὶ σαχοδοσμίς· καρπὸν
καρδαμώδη· καμπύλον· κράτιστος ὁ ἀττικὸς
καὶ ὁ ἐν Κυζίκῳ καὶ ὁ ἐν Χαλκηδόνι γινόμενος· κροκί-
ζων καὶ εὐώδης· φύεται δὲ καὶ ἐν Καμπανίᾳ·
δύναμιν δὲ ἔχει στυπτικήν· μαλακτικὴν πά-
σης φλεγμονῆς· μάλιστα δὲ τὴν περὶ ὀφθαλμοὺς
μετὰ γλυκέος ἀφεψηθεὶς καὶ καταπλασθείς· ἐνίοτε
ὠοῦ λεκίθῳ ὀπτῆς προσμιγείσης, ἢ λινοσπέρμου·

ἢ γήρως· ἢ νωσῶν· θεραπεύει μήτρας σὺν γλυκεῖ οἴνῳ καταχριόμενος· καὶ μαλακτηρίοις προσφάτους καθίσταται σὺν ὄξει· ἀλγήματα στομάχου σὺν οἴνῳ ἀφεψηθὲν ἢ ὠμὸν· σὺν τινὶ τῶν προειρημένων· καὶ ὀσταλγίας σὺν βοηθεῖ σὺν γλυκεῖ· ὠμὸς χυλωθεὶς καὶ ἐγχεόμενος· καὶ πρὸς κεφαλαλγοῦντας ἐμβροχαῖς σὺν ὄξει καὶ ῥοδίνῳ:-

περὶ μυρτακάνθης·

Μυρτάκανθα· οἱ δὲ μυρσίνην ἀγρίαν· οἱ δὲ ὀξυμυρσίνην· οἱ δὲ ἄγονον· οἱ δὲ ἱερόμυρτον· οἱ δὲ μυάκανθον· οἱ δὲ χαμαιμύρσινην· βισοτίγορσυνθίαν· οἱ δὲ ἄκορον· Ἀφ(ροι) οἱ δὲ κίνιν· Ῥωμαῖοι ῥοῦσκουμ· τὸ μὲν φύλλον μυρσίνῃ ἔχει ὅμοιον· πλατύτερον δὲ· λογχοειδὲς ὀξύ· ἐπ᾽ ἄκρου δὲ τοῦ ἄκρου ποῦ· στρογγύλον περιφερῆ· ἐρυθρὸν ἐκτὸς πεπληρωμένον· ἔχον τὰ δὲ ἐντὸς ὀστώδεις· κλωνία λυγοειδῆ· πολλὰ ἐκ τῆς ῥίζης σπιθαμιαῖα· ὅσον πῆχυς εὐφυῆ· ῥίζαν παραπλησίαν ἀγρώστει· γενομένων ἐν ὀφ(...)· πόνηρρος· σὺν ἅμα μὲν ἔχει τὰ φύλλα καὶ ὁ καρπὸς ἐν οἴνῳ πινόμενος· οὐρητικά· καταμήνια καὶ λίθους τοὺς ἐν κύστει θρύπτει· θεραπεύει σὺν καὶ ἴκτερον καὶ στραγγουρίαν καὶ κεφαλαλγίαν· φύεται ἐν τραχέσι καὶ κρημνώδεσι καὶ ἀνίκμοις τόποις· καὶ τὸ ἀφέψημα σὺν τῆς ῥίζης σὺν οἴνῳ ποθὲν, τὸ ὕπνου ποιεῖ· καὶ αὐτὰ τὰ ἀποβλαστήματα σὺν οἱ καυλοὶ νεοθαλεῖς λάχανον ἐσθιόμενοι ἐσθίονται· ὅσοι δὲ ἔμπικροι καὶ διουρητικοί:-

περὶ μάρου·

Μάρον· οἱ δὲ ὀριγανίσαν· πόα φρυγανώδης· ὁμοία τῷ ἄνθει ὀριγάνου· ταμιώτερα φύλλα τούτου λευκότερα πολλ(ά)· καὶ τὸ ἄνθος εὐῶδες· ἔχει δὲ δύναμιν ὁμοίως συμβρι(ωτ)

ὑπὸ στύφων καὶ θερμαίνων ἠρέμα· ὅθεν νομὰς
ἵστησι καταπλασσόμενον· καὶ εἰς τὰ θερμὰ τῶν
χρισμάτων μίγνυται· γεννᾶται δὲ καὶ ἐν τῇ μαγνησίᾳ δὲ
καὶ σπάλης πλεῖστον:~

περὶ μώλυος

μῶλυ· οἱ δὲ μώλασον· οἱ δὲ ἄγριον ἀνδρόσαιμον· οἱ δὲ
λευκόϊον ἄγριον καλοῦσι· τὰ μὲν φύλλα ἔχει, ἀγρώ-
στει ὅμοια· πλατύτερα δέ· ἄνθη ὅμοια, λευκοΐοις·
γαλακτώδη· ἥττονα δὲ πρὸς τὰ τοῦ ἴου· ἡ ῥίζα περι-
απτομένη, ὠφελεῖ πρὸς φάρμακα· καὶ ἀχθρούς ἁπαλά-
τει· καυλὸν δὲ λεπτὸν πηχυαῖον· ἀπ' ἄκρου δὲ ἔχει
τι ἄκρου φύσιν, ὥσπερ σκορόδου δὲ τῆς πρασίνου· ἡ δὲ ῥίζα
μικρά· βολβοειδής· αὕτη σφόδρα ἀγαθὴ πρὸς ὑστέ-
ρας ἀναστόμωσιν τετριμμένη, καὶ μετὰ ἰρίνου μύρου
πρὸς τὸ θεμένη ἐν πεσσῷ:~

περὶ μελάνθης·

μελάνθη· οἱ δὲ μήκωνα ἄγριον καλοῦσιν· ῥωμαῖοι πα-
πάβερ νίγρουμ· θαμνίσκος ἐστὶ λεπτὸς ἀκρόφυος δισπί-
θαμος ἢ καὶ μείζων· φυλλάρια ἔχων λεπτὰ ὡς ἠριγέ-
ροντος· λεπτότερα δὲ πολλῷ· καὶ κεφάλιον ἐπ' ἄκρου
λεπτὸν μικρὸν ὡς μήκωνος· καὶ τὰ ἐν τῷ διαφράγματα
ἐν οἷς καὶ σπέρμα μέλαν· δριμύ· εὐῶδες· καταπλα-
σσόμενον εἰς ἄρτους· ἁρμόζει δὲ καὶ ἀφαλλάττουσι κατὰ
πλασσόμενον τοῦ μετώπου· καὶ τοῖς ἀρχομένοις ὑπο-
χεῖσθαι, ἐγχεόμενον δὲ τὰς ῥῖνας λεῖον μετὰ ἰρίνου·
ἀχῶρας δὲ καὶ φακούς· καὶ λέπρας· καὶ οἰδήματα τὰ παλαιά·
καὶ σκληρίας σὺν ὄξει καταπλασσόμενον· καὶ ἥλους
πρὸς περιχαραχθέντας ἐκτιναχθὲν σὺν οὔρῳ παλαιῷ
ἐπιτεθέν· ὠφελεῖ δὲ καὶ τὰ ὀδόντων ἀλγήματα μετ' ὄξους
καὶ ῥοδίνου ἀφεψηθὲν διακλυζόμενον, ἐκτιναχθὲν δὲ

καὶ ἕρπητας στρογγύλας, καταπλασσόμενον δὲ τοῦ ὀμ-
φαλοῦ μεθύσαντας ἰᾶται μαλαχθὲν καὶ σὺν ἀποστάσμω
ὀσφραινόμενον· καὶ τοῖς καταρροιζομένοις ὠφελεῖ·
πινόμενον δὲ ἐπὶ πλείονας ἡμέρας, ἔμμηνα καὶ γάλα
καὶ οὖρα ἄγει· παύει καὶ δύσπνοιαν μετ' οἴνου ποθέν·
βοηθεῖ δὲ καὶ φαλαγγιοδήκτοις ὅσον δραχμή, μεθύ-
σαντας ποθέν· διώκει δὲ καὶ θηρία· φασὶ δὲ καὶ ἀναι-
ρεῖν αὐτό, πλέον ποθέν:~

περὶ μυριοφύλλου·

Μυριόφυλλον· οἱ δὲ μηλόφυλλον· οἱ δὲ στρατιώτην·
οἱ δὲ ἀχίλλειος· Φράγγοι, μηλιοφόλιουμ· καυλίσ-
κος δὲ ἐστὶ τρυφερός, μονοφυής· περὶ οὗ φύλλα μα-
ράθω ὅμοια, ὅθεν καὶ ὠνόμασται· ὅσα δὲ καυλός ἐστιν,
ὑπόκοιλος διάπυκνος· ὡς ἐπὶ τὸ πλεῖστον διαιρού-
μενος· φύεται ἐν ἀλσώδεσι τόποις· τηρεῖ δὲ τοῦτο
ἀφλέγμαντα τὰ νεότρωτα τῶν ἑλκῶν, σὺν ὄξει τὰ
χλωρὰ ὄντα καὶ ξηρὰ καταπλασσόμενον· ποτίζεται
δὲ πρὸς πτώματα σὺν ὕδατι:~

ἀρχὴ τοῦ Ν

περὶ ναρκίσσου·

Νάρκισσος, ἢ καὶ ἄσυρος· οἱ δὲ αὐτοκλεόν· οἱ δὲ βολβὸς
ἐμετικός· ἔνιοι καὶ τοῦτο ὡς πὺρ τὸ κρίνον λείριον
καλοῦσι· τὰ μὲν φύλλα, πράσω ἔοικε· μικρότε-
ρα δὲ καὶ στενότερα· καυλὸς ἡμένου ἄφυλλον· ὑπὲρ
σπιθαμῆ τὸ ὕψος· ἄνθος λευκὸν ἐν μέσω κοί-
λου ἄχρου· κροκῶδες· ἐπ' ἐνίων δέ, πορφυροειδές· ῥί-
ζα λευκὴ ἔσωθεν στρογγύλη· βολβοειδής·
καρπὸς, ὡς ἐν ὑμένι μέλανας· φύεται ὁ κάλλιστος
ἐν ὄρεσι· εὐώδης· ὁ δὲ λοιπὸς πρασώδης· καὶ βοτ-

νόσῳ τινὰ ἀποφορὰν ἔχον· τούτου βρωθεῖσα ἡ
ῥίζα ἀφεψηθεῖσα καὶ ποθεῖσα, ἔμμηνα κινεῖ· ἁρμόζει
καὶ περιϊκαύτοις λιθιῶσι μάλιστα· καὶ ταῖς περὶ νεφρὰ
διακοπαῖς, σὺν μελικράτῳ καταπλασσομένη· στρέμματα
τῶν σφυρῶν· καὶ περὶ τὰ ἄρθρα χρόνια ἀλγήματα
καταπλασθεῖσα ἐλαίῳ ὀνίνησι· καθαίρει καὶ ἀφήλω καὶ
ἀλφοὺς σὺν κνίδης σπέρματι καὶ ὄξει· σὺν ὀρόβω
δὲ καὶ μέλιτι, τὰς ἀκαθαρσίας τῶν ἑλκῶν ἀφαιρεῖ-
ται· καὶ τὰ διάσηπτα τῶν ἀποστημάτων ἐπέχει· καὶ
ἀνάπτει σιαλώπας, σὺν ἐρίνῳ ἀλεύρῳ καταπλαττο-
μένη.

περὶ νυμφαίας

Νυμφαία· οἱ δὲ πατρίδα· οἱ δὲ θηλυπάτριν· οἱ δὲ νυμ-
φαίαν πατρίνου· τὰ μὲν φύλλα, πατρίσι ὅμοια, ἢ
λογχίτιδι, ἢ μακρὰ λαπάθῳ καὶ ὑψηλότερα· ῥί-
ζας δὲ ὕπτιοι, μακράς· τραχώδεις· ὑπόξανθοι ἐν τῷ
μέλανι ἐρυθρῶς ἔχουσαι· αὗται δὲ ἐν μέλιτι ἐκλά-
κτῳ λαμβανόμεναι, πλατέας ἔμμηνα ἐμβάλλουσι·
γυναιξὶ δὲ διδόμεναι, ἀσυλληψίαν ποιοῦσι· καὶ ἄγριος
δὲ ἐλάβοι, ἐμπτρώσκει· ξηραὶ δὲ ἐπὶ τῶν δυσα-
λθῶν καὶ καθύγρων ἑλκῶν ἐπιπλάσσονται· λόφους
τῶν ὑποζυγίων ἰῶνται· τὰ δὲ φύλλα αὐτῆς ἀρτίβλα-
στα λαχανευθέντα· καὶ ἀφθὰ βρωθέντα κοιλίαν μαλά-
σσει.

περὶ ἄλλης νυμφαίας

Νυμφαία ἄλλη· γίνεται δὲ καὶ αὕτη νυμφαία ὁμοία
τῇ προειρημένῃ· ἢ μᾶλλον σκυταλλίῳ τὰ φύλλα ὁμοιῶ·
ἄνθος μέλινον· σίλβου· ῥόδο ποιεῖ ἡ ῥίζα καὶ τὸ σπέ-
ρμα πρὸς ῥοῦν γυναικεῖον· ἐν οἴνῳ μέλανι πινόμενα·
φύεται ἐν τοῖς παραθαλασσίοις τόποις κατὰ τὸν πλευσιοῦ
τόπον.

περὶ νάρθηκος

Νάρθηξ· αἰγύπτιοι δὲ μαλτώπιον καλοῦσιν· ἀζουγίνα)

ἢ χαλβάνη· ῥωμαῖοι, φαρουλάμ :~

περὶ νάρθηκος χλωροῦ·

Νάρθηκος χλωροῦ ἡ ἐντεριώνη πινομένη, αἷμα πτύουσι καὶ κοιλιακοῖς ὠφελεῖ· καὶ ἐχιοδήκτοις δίδοται σὺν οἴνῳ. καὶ τὰς ῥῖνας αἱμορραγίας ἐπέχει· ὡς συλλήβδην ἐντιθεμένη· τὸ δὲ σπέρμα, στροφουμένοις πινόμενον ὠφελεῖ· καὶ ἱδρῶτας κινεῖ, χριόμενον μετ' ἐλαίου· οἱ δὲ καυλοὶ βρωθέντες, κεφαλαλγεῖς εἰσίν :~

ΑΡΧΗ ΤΟΥ Ξ

περὶ ξιφίου·

Ξ ξίφιον· οἱ δὲ ἀνακτόριον· οἱ δὲ φάσγανον· οἱ δὲ μαχαιρώνιον· οἱ δὲ ἄριον· ῥωμαῖοι γλαδίολουμ· διὰ τὸ τοῦ φύλλου σχῆμα ἐοικὼς ξίφει, ὠνόμασται ξίφιον. ἔοικε γὰρ ἴρει· ἔλαττον μέντοι καὶ στενώτερον· καὶ ἀπόξυ, ὡς μαχαίριον ἰδέσθαι· καυλὸν δὲ αὐτῷ πηχυαῖον· ἐφ' ᾧ ἄνθη πορφυρᾶ· στιχηδὸν ἀπ' ἀλλήλων διεστῶτα· καρπὸν στρογγύλον· ῥίζας δύο· ἐμβεβηκυίας, τὴν ἑτέραν καθημένην ὡς παρὰ βολβίᾳ, μικράν· τούτων μὲν ἡ μὲν καὶ ἀνώτερα ἐστίν· ἡ δὲ ἄνωθεν, ἀστροτέρα· φύεται μάλιστα ἐν ἀρούραις· δύναται δὲ ἡ ἄνω ῥίζα καταπλασσομένη μετὰ οἴνου καὶ λιβανωτοῦ, ἀκίδας καὶ σκόλοπας ἀποσπᾶσθαι· σὺν ἀλεύρῳ δὲ ἐρεγ(?) μετὰ ὀξυμέλιτος· διαφορεῖ φύματα· ἀθεραπεύτοις τοιαύταις ἐμπλαστροις μίγνυται· δοκεῖ δὲ καὶ καταμήνια προστιθεμένη· φασὶ δὲ καὶ πρὸς ἀφροδίσια παρορμᾶν τὴν ἀνωτέραν ῥίζαν, σὺν οἴνῳ ποθεῖσαν· τὴν προς(?) κατωτέραν δὲ, ἀγόνους ποιεῖν· τὴν ἐκ τοῦ κατωτέρου δέ, ἐντεροκηλήσεις τοῖς παιδίοις ὠφέλιμος δίδομένη ἐν ποτῷ σὺν ὕδατι :~

ἰνδ... ἢ ναρδῶσαι.

περὶ ξυρίδος·

ξυρίς· οἱ δὲ ἀξαύδριον· οἱ δὲ φιλαυοῦ· οἱ δὲ, ἶριν ἀγρίαν· ῥωμαῖοι γλαδιολοῦ· τὰ μὲν φύλλα ἔχει, ἴρεως ὅμοια· πλατύτερα δὲ, καὶ ἐξάκρου ὀξέα· καυλοὺς δὲ ἐκ μέσου τῶν φύλλων, πηχυαῖον ἱκανῶς παχύν· ἀφ᾽ οὗ λοβοὶ τρίγωνοι καὶ ἀπ᾽ αὐτῶν, ἄνθος πορφυροῦν· τὸ δὲ ἐν μέσῳ, φοινικοῦν· καρπὸς δὲ ἐν θυλακίοις ἢ κυάμοις ὅμοιος· στρογγύλος· ἐρυθρός· δριμύς· ῥίζα δὲ πολυγόνατος μακρά· ὑπόλευκος· ἐνίοτε δὲ καὶ πυρά· ποιοῦσι πρὸς τὰ ἐν κεφαλῇ τραύματα, καὶ κατάγματα· ἀκίδας δὲ καὶ πᾶν βέλος ἀποσπᾶται· τὰ μετὰ ὀποβοίας, μισγόμενα χαλκάνθου μέρος τρίτου· καὶ κενταυρίας ῥίζης μέρους πέμπτου καὶ μέλιτος· θεραπεύει δὲ καὶ οἰδήματα καὶ φλεγμονάς, καταπλασσομένη τῷ ὄξει· πίνεται δὲ καὶ πρὸς σπάσματα καὶ ῥήγματα· ἰσχιάδας τε καὶ στραγγουρίας καὶ διαρροίας, ἡ ῥίζα μετὰ γλυκέος θλασμένη· ὁ δὲ καρπὸς, διουρητικώτατος· ὅσον τριώβολον ποθεὶς σὺν οἴνῳ· τήκει δὲ καὶ σπλῆνα, σὺν ὄξει ποθείς:—

περὶ ξανθίου·

ξάνθιον· οἱ δὲ φάσγανον· οἱ δὲ χοιραδόλεθρον· οἱ δὲ, ἀντιθέσιον· οἱ δέ, χάσμανον· οἱ δὲ ἀπαρίνην· ῥωμαῖοι κολλητρίσαν· ἄγρια ἐλαιοφυλλίς· φύεται ἐν λιπαροῖς τόποις καὶ λίμναις ἀναξηρανθείσαις, καυλοὺς δὲ ἔχει λιπαρὸν πηχυαῖον· γωνιώδη· καὶ ἀπ᾽ αὐτοῦ μασχάλας πλείονας· ἀτράφαξι δὲ τὰ φύλλα ἐμφερῆ· ἐντομὰς ἔχοντα· καρδαμώδη δὲ τῇ ὀσμῇ παραπλήσιον· καρπὸν δὲ στρογγύλον· ὡς ἂν ἐλαία μεγάλη ἀκανθώδη ὡς πλατάνου σφαιρία, ἐπιλαμβανόμενον ἱματίοις κατὰ τὴν ψαῦσιν· συνάγεται δὲ ὁ καρπὸς πρὶν ἢ τελέως ξηρανθῆναι· συναχθείς

καὶ κοπεὶς καὶ ἀποτεθεὶς ἐς κεραμεοῦν ἀγγεῖον· τρίχας
ξανθὰς ποιεῖ, ἀπ' αὐτῆς ἐπὶ τῆς χρήσεως λαβὼν
τρίβε τοῦ πλῆθος ἐξ αὐτοῦ· διεὶς τῷ ὕδατι χλιαρῷ
καὶ προσεντρίψας τὴν κεφαλὴν καταπλάσατε· τι-
νὲς δὲ καὶ ῥύμμα τι οἴνου κόψαντες αὐτὰ ἐπιτίθεν-
ται· καταπλάττεται δὲ καὶ πρὸς οἰδήματα, ὄνδρ πρὸς
ἐπὶ κνήδος·~

∴ ἀρχὴ τοῦ ο´ ∴
περὶ ὀξυλαπάθου

Ὀξυλάπαθον τὸ μέγα· οἱ δὲ σύμφυτον· οἱ δὲ φλῶμος
ἰουδαϊκά· οἱ δὲ σατύριον· αἰγύπτιοι, συμιθ· ἄφροι,
ἀρμουτιμ· ἄλλοι ῥοῦμεξ ἀκιδούς· ῥωμαῖοι, ῥουμικέλ-
λα· ὀξυλάπαθον τὸ μικρόν· οἱ δὲ ὀξαλίδα· οἱ δὲ τρ-
ώξιμον· ῥωμαῖοι, ῥουμιγὰς ῥουμε· ἄφροι, ἀρμου-
ζαγρᾶφ· τὸ δὲ ὀξυλάπαθον φύεται ἐν ἑλώδεσι· σκληρὸν
ὑπόξυ· τὸ δὲ ἕτερον κηπευόμενον, ἀνόμοιον τῷ πρώτῳ·
τὸ δὲ τρίτον, παρόμοιον ἀρνογλώσσῳ· μικρὸν ταπεινόν·
ἔστι δὲ καὶ τέταρτον· ὃ ἔνιοι, ὀξαλίδα· ἢ ἀνα-
ξυρίδα· ἢ λάπαθον ἄγριον καλοῦσι· φύλλα ὅμοια
τῷ μικρῷ λαπάθῳ· καυλὸς οὐ μέγας· ἀπόξυ· καρπὸς,
ἐρυθρός· δριμύς· ἐπὶ τοῦ καυλοῦ ὡς ἐπὶ παραφυά-
δων· ἁπάντων δὲ τὸ λάχανον ἑψηθέν, μαλάσσει κοιλίαν·
ὠμὸν δὲ καταπλασσόμενον, μελικηρίδας σὺν ῥοδίνῳ
διαφορεῖ· τὸ δὲ σπέρμα τοῦ ἀγρίου καὶ τοῦ ὀξυλα-
πάθου καὶ τῆς ὀξαλίδος, πίνεται ὠφελίμως μεθ' ὕ-
δατος, ἢ οἴνου πρὸς δυσεντερίαν καὶ κοιλιακὴν διά-
θεσιν· καὶ ἄλυσιν στομάχου· καὶ σκορπιοπλήκτοις· καὶ
προπιὼν τις οὐ βλαβήσεται πληγείς· αἱ δὲ ῥίζαι αὐ-
ταὶ ἑφθαὶ σὺν ὄξει καὶ ὠμαὶ καταπλασσόμεναι, θε-
ραπεύουσι λέπρας· λειχῆνας· ὄνυχας λεπρούς·

δὲ δεῖ προσανατρίβειν, νίτρῳ τοῦ τόπου καὶ ὄξει· πραΰνει δὲ καὶ κνησμοὺς τὰ ἀφέψημα αὐτοῦ περιαντλούμενον· παρηγοροῦσι δὲ καὶ ὀδονταλγίας σὺν οἴνῳ ἀφεψηθεῖσαι καὶ διακλυζόμεναι· διαφοροῦσι δὲ καὶ χοιράδας· καὶ παρωτίδας ἀφεψηθεῖσαι σὺν οἴνῳ καὶ καταπλασθεῖσαι ἁπαλύνουσι σὺν ὄξει· καὶ ἔνιοι δὲ μέντοι χρῶνται τῇ ῥίζῃ πρὸς χοιράδας, καὶ περιάπτουσι τῷ τραχήλῳ· ἱστᾶσι καὶ ῥοῦν γυναικεῖον προστιθέμεναι· ἀφεψηθεῖσαι δὲ ἐν οἴνῳ καὶ πινόμεναι, ἰκτέρους ἀποκαθαίρουσι· καὶ λίθους τοὺς ἐν κύστει θρύπτουσι· ἔμμηνα ἄγουσι καὶ σκορπιοπλήκτοις βοηθοῦσιν. —

περὶ ὀνόματος·

Ὄνομα· οἱ δὲ φλασονίτην· οἱ δὲ, ὀμονίτην· φύεται ἐν τραχέσι τόποις· τούτου τὰ φύλλα σὺν οἴνῳ ποθέντα, ἔμβρυα ἐκβάλλει· φασὶ δὲ ὅτι ἐὰν ἡ ἔγκυος ὑπερβῇ τὴν ῥίζαν ἐκτιτρώσκει· τοῦτο ὅμοιον κατὰ πάντα τῇ ἀγχούσῃ:—

περὶ ὁλοστίου·

Ὁλόστιον· πόα ἐστὶ μικρὰ ὑπάρχουσα· ὡς τριῶν δακτύλων ἢ δ΄· φύλλα δὲ ἔχει καὶ κλήματα κορωνόποδι παραπλήσια· ἢ ἀγρώστει· στυπτικά· ῥίζαν δὲ σφόδρα λεπτὴν ὡς τρίχα· λευκὴν· οἰνώδη· μήκους δακτύλων δ΄· φύεται ἐν γεωλόφοις· δύναται δὲ σὺν οἴνῳ πινομένη, συνάγειν τὰ κεκομμένα κρέα· καὶ πρὸς ῥήγματα δὲ, σὺν οἴνῳ ποτίζεται:—

περὶ ὀξυσχοίνου·

Ὀξύσχοινος· οἱ δὲ, ὀξύφλοιος· τὸ σπέρμα τῶν σχοίνων φρυχθὲν καὶ ποθὲν μετὰ κεκραμένου, κοιλίαν καὶ ῥοῦν ἐρυθρὸν ἵστησι· καὶ οὖρα κινεῖ· αἴτιος δὲ κεφαλαλγίας· τὰ δὲ πρὸς τῇ ῥίζῃ ἁπαλὰ, φαλαγγιοδήκτοις ἁρμόζει· ἡ δὲ εὐρυτίνη σχοῖνος, ὑπόπυρσον ἔχει τὸν καρπόν· φύ-

λάττεσθαι δὲ δεῖ αὐτοῦ ἐν ταῖς πόσεσι τὸ πλῆθος·
κακοῖ γὰρ πάνυ:—

περὶ ὀριγάνου·

Ὀρίγανος ὀνῖτις· αὕτη λευκοτέρα τοῖς φύλλοις ἐστὶ
τῆς πρὸ αὐτῆς· μᾶλλον προσεοικυῖα ὑσσώπῳ· καὶ τὸ
σπέρμα ὥσπερ κορύμβους ἐν συνεχέσι ἀπὸ πλείους ἔχει·
δύναται δὲ τὰ αὐτὰ τῇ ἡρακλεωτικῇ· οὐχ οὕτω μέν-
τοι, δραστικὴ καθέστηκεν:—

περὶ ὀριγάνου ἡρακλεώτου·

Ὀρίγανος ἡρακλεωτική· οἱ δὲ, κονίλην· τοῖς φύλλοις ἐμ-
φερὴς ὑσσώπῳ· σκιάδιον δὲ οὐ τροχοειδὲς ἀλλ' ὥσπερ
διῃρημένον· καὶ ἄκρας ἔχει τοὺς καυλοὺς τὸ σπέρμα· οὐ
πυκνὸν· ἐν πορφύρου· ἔστι δὲ θερμαντική· ὅθεν τὸ
ἀφέψημα αὐτῆς ποθέν, ὠφελεῖ θηριοδήκτοις·
ξηρὰ δὲ ποθεῖσα ὀξυβάφου πλῆθος σὺν μελικράτῳ,
μέλαν κατάγει λίαν ἄγαν· ἔμμηνά τε κινεῖ καὶ βῆχας
θεραπεύει, σὺν μέλιτι ἐκλειχομένη· κνησμοὺς δὲ καὶ
ψώρας καὶ ἴκτερον τὸ ἀφέψημα αὐτῆς ἐν λουτρῷ ὠφε-
λεῖ· ὁ δὲ χυλὸς αὐτῆς χλωρός, παρίσθμια καὶ κιονίδας
καὶ ἄφθας θεραπεύει· καὶ διὰ ῥινῶν ἄγει σὺν ἐλαίῳ ἀν-
χυματιζόμενος· σὺν γάλακτι δὲ καὶ ὠταλγίαις βοη-
θεῖ· ἐμετικοῦ τε φαρμάκου, δι' αὐτῆς σκευάζεται· καὶ
κρομμύων καὶ ῥόος τῆς ἀπὸ τοῦ ὀπτὰ πάντων ἐν χαλκῷ
κυπρίῳ ἐν τοῖς ὑπὸ κύνα ἡλιασθέντων ἐπὶ ἡμέρας μ΄.
ὑποστρωννυμένη δὲ ἡ πόα, ἑρπετὰ διώκει:—

οἱ δὲ πάνακες·

περὶ ὀνοβρυχίδος·

Ὀνοβρυχίς· οἱ δὲ ὀνόβροχλος· οἱ δὲ ἀχασμένη· οἱ δὲ ὑ-
περικοῦ· οἱ δὲ, κόρζον· οἱ δὲ χαμαιπύτιον· οἱ δὲ ὀπτά- τω
τα· θάρινος ἐστὶ ἀντιθαμνίσκος, ἢ καὶ μέζων· μονό-
καυλος· φύλλα ἔχει ἀπὸ διαστημάτων ὅμοια φακῷ
μακρότερα μέντοι· ἄνθος μὲν ἐρυθρόν· καὶ ῥίζαν μικράν· φύ-

κίας ἐν ἀνύδροις τόποις· δύναμιν δὲ ἔχει ἐπιτιθέ-
μενα λεῖα διαλύει φύματα· ὁ δὲ χυλὸς αὐτῆς μετ' οἴ-
νου πινόμενος στραγγουρίαν θεραπεύει. —

περὶ ὀροσελίνου

Ὀρεοσέλινον· οἱ δὲ πετροσέλινον ἄγριον· Ῥωμαῖ-
οι ἄπιουμ· ταύτης ὑπόθαμνος σπιθαμιαῖος· ἐκ ῥί-
ζης λεπτῆς περιφερὴς κλωνάρια καὶ κεφάλια, μη-
κωνίῳ παρεμφερῆ· δασύτερα μέντοι ἱκανῶς· ἀφ' ὧν
καρπός, ὑπόξυς· δριμύς· εὐώδης· ὅμοιος κυ-
μίνῳ· φύεται δὲ ἐν πέτραις καὶ ὀρεινοῖς τόποις·
δύναμιν δὲ ἔχει ὁ καρπὸς καὶ ἡ ῥίζα οὐρητικήν· καὶ πο-
θέντα ἐν οἴνῳ· ἄγει δὲ καὶ ἔμμηνα· μίγνυται δὲ καὶ
ταῖς διουρητικαῖς συντιθέμασι καὶ ἀντιδότοις· οὐ δεῖ
δὲ πλανᾶσθαι νομίζοντας εἶναι τὸ ὀρεοσέλινον·
ἐν πέτραις φυόμενον :~

περὶ ὀρόβου·

Ὄροβος γνώριμος· ἔστι δὲ τὸ ἄλευρον αὐτοῦ καρηβα-
ρικόν· κοιλίας σταλτικόν· τὸ ἀφέψημα αὐτοῦ πι-
νόμενον αἷμα διὰ οὔρων ἄγει· βόες δὲ πιαίνονται ἑφθὸς
ἐσθιόμενος· σκευάζεται δὲ τὸ ἐξ αὐτοῦ ὀρόβινον·
ἄλευρον δὲ εὐκοίλιον· διουρητικόν· εὐχροίας ποιητι-
κόν· πλεονασθὲν δὲ βρωτὸν ἢ ποτὸν· αἷμα ἄγει
διὰ κοιλίας καὶ κύστεως· ἰᾶται δὲ καὶ πλασσοῖς ἕλ-
κεσι σὺν μέλιτι· καὶ φακοὺς καὶ ἀφήλεις καὶ ἰόνθους·
Καὶ τὰς ἐς τὸ λοιπὸν σῶμα, νομὰς ἵστησι· καὶ σκλη-
ροὺς τοὺς ἐν μαστοῖς μαλάσσει· καὶ θηριόδηκτα καὶ ἀνθ-
ρακας καὶ κηρία ῥήγνυσι· φρυχθεὶς δὲ σὺν οἴνῳ, κυνό-
δηκτα καὶ ἀνθρωπόδηκτα θεραπεύει· καταπλασσόμενα
δὲ σὺν ὄξει, δυσουρίαν καὶ στρόφους καὶ τεινεσμοὺς
παύει· ἁρμόζει δὲ καὶ ἀτρόφοις ὅσον καρύου μέγεθος

σὺν μέλιτι ληφθέν· τὸ δὲ ἀφέψημα αὐτῶν καταντλούμενον, χειμέθλας καὶ κνησμοὺς τοὺς ἐν τῷ σώματι παύει:—

περὶ ὀνογύρου·

Ὀνότυρος· οἱ δὲ ἀνάγυρις· οἱ δὲ ἄκοπον· οἱ δὲ ὄνομα· οἱ δὲ φιασινίτην· οἱ δὲ ὁρμουίτην· ἔοικε κατὰ τὰ φύλλοις καὶ ἄνθεσι καὶ ῥίζῃ, τῇ ἀγχούσῃ:—

περὶ οἰνάνθης·

Οἰνάνθη· οἱ δέ, κάρας κόμην· οἱ δὲ λευκάκανθον· φύλλα ἔχει ὡς ἡ σταφυλῖνος· ἄνθη λευκά· καυλὸν παχύν· σπιθαμιαῖον· καρπὸν δὲ ὅμοιον ἀτραφάξεως· ῥίζα μεγάλη· κεφαλὰς ἔχουσα στρογγύλας· φύεται ἐν πέτραις· ταύτης ὁ καρπὸς καὶ ὁ καυλὸς καὶ τὰ φύλλα ποθέντα, δευτέρων ἐκβολὴν σὺν οἴνῳ ἐργάζεται· καὶ πρὸς στραγγουρίαν ποιεῖ:—

περὶ ὁρμίνου·

Ὅρμινον ἥμερον· οἱ δὲ γεμινάλις· οἱ δὲ ὅρμιναν· ὅρμινον, πόα ἐστὶ πρασίῳ ἐμφερής· καρπὸς δὲ τῇ τραγώνος λοβοῖς φασιούλου· ἔνια ἐστὶ σπέρμα διάφορον· τὸ γὰρ τοῦ ἀγρίου στρογγύλου εὑρίσκεται· τὸ δὲ τοῦ ἡμέρου, ἐπίμηκες· τοῦτο ἐν οἴνῳ πινόμενον, συνουσίαν παρορμᾷ· ἀποκαθαίρει δὲ λευκώματα· καταπλασθέντα δὲ μεθ' ὕδατος, οἰδήματα διαφορεῖ· καὶ ἐπισπᾶται· καὶ ἡ πόα καταπλασθεῖσα τὰ αὐτὰ ποιεῖ· καὶ τὸ ἄγριον, τὴν αὐτὴν ἔχει δύναμιν:—

ἀρχὴ τοῦ · π ·

περὶ πολυγόνου·

Πολύγονον ἄρρεν· οἱ δέ, καρκίνεθρον· οἱ δὲ ταθαλίδα· οἱ δὲ μυρτοπέταλον· οἱ δὲ πολύκαρπον· οἱ δὲ χλωοβοσκίαν· πόα ἐστὶ κλῶνας ἔχουσα λεπτούς

τρυφερούς· πολλοῖς γόνασι περιειλημμένους· ἕρποντας ἐπὶ γῆς ὡς ἄγρωστις· φύλλα δὲ πηγάνῳ ὅμοια, ἢ ὑπομηκέστερα· ἔχει δὲ καρπὸν παρ' ἕκαστον φύλλον· ὅθεν καὶ ἄρρεν ἐκλήθη· ἄνθος δὲ λευκὸν ἢ φοινικοῦν· δύναμιν δὲ ἔχει στυπτικὴν καὶ ψυκτικήν· ὁ δὲ χυλὸς πινόμενος ἁρμόζει αἱμοπτοϊκοῖς καὶ τοῖς κατὰ κοιλίαν ῥεύμασι· καὶ χολερικοῖς καὶ στραγγουριῶσιν· ἄγει δὲ οὖρα ἐναργῶς· βοηθεῖ καὶ θηριοδήκτοις μετ' οἴνου πινόμενος· καὶ πρὸς περιοδικοὺς πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας λαμβανόμενος. ἴσχει δὲ καὶ ῥοῦν γυναικεῖον προστιθείς· καὶ ὠταλγίας καὶ πυορροίας ἐνσταζόμενος ἁρμόζει· συνεψηθεὶς δὲ οἴνῳ καὶ μέλι προσλαβών, ἄκρως ποιεῖ πρὸς τὰ ἐν αἰδοίοις ἕλκη· καταπλάσσεται δὲ τὰ φύλλα, πρὸς στομάχου ἔγκαυσιν· καὶ αἵματος ἀναγωγήν· καὶ ἕρπητας καὶ ἐρυσιπέλατα· καὶ φλεγμονάς· καὶ οἰδήματα καὶ τραύματα πρόσφατα. ~

περὶ πολυγόνου θήλυος.

πολύγονον θῆλυ· μονόκλωνον· τρυφερόν· ὅμοιον ἱππούριδι· συνεχῆ φύλλα ἔχον ἀνειμένα ἀλλήλοις, καὶ περὶ τοῖς γόνασι· πίτυος φυλλαρίοις ἐοικότα· φύεται δὲ παρὰ τοῖς ὑδατώδεσι· δύναμιν ἔχει ψυκτικήν. ~

περὶ πολυγονάτου ἑτέρου

πολυγόνατον ἕτερον· φύεται ἐν ὄρεσι· θάμνος πήχεως μείζων· φύλλα ὅμοια δάφνῃ· πλατύτερα δὲ καὶ λιπαρώτερα· ἐν γεύσει ὅμοιον τῷ μηλοκυδωνίῳ· καθ' ἕκαστον φύλλον, ἄνθη λευκά τῷ πλήθει· ῥίζαν λευκὴν μαλακήν· μακράν· πολυγόνατον· βαρύοσμον· πάχος ἔχουσαν δακτύλου· ὠφελεῖ δὲ πρὸς τραύματα καταπλασσομένη· καθαίρει καὶ

σπίλους ἐν προσώπῳ:~

περὶ πυρέθρου·

Πύρεθρον· οἱ δὲ, δορύκνιον· οἱ δὲ πύρινον· οἱ δὲ
πύρωτον· οἱ δὲ ἄγνος συρίτης· οἱ δὲ πυρὶ· οἱ δὲ ζε
λιβδαρίς· καυλοὺς ἀφίησι καὶ φύλλα ὥσπερ δαυκοῦ
ἀγρίου ἢ μαράθρου· ἀπ' ἄκρων δὲ σκιάδιον· ὡς ἀνή
θου τε σχεα δὲ· δακτύλου μεγάλου τὸ πάχος· ῥί
ζα πυρωτικωτάτη· ἐκφλεγμαντος· τραυματική·
διὸ καὶ ταῖς ὀδονταλγίαις βοηθεῖ, ἀφεψηθεῖσα καὶ δια
κλυζομένη· ἄγει δὲ φλέγμα, διαμασηθεῖσα· σὺγ
χριομένη δὲ μετ' ἐλαίου, ἱδρῶτας κινεῖ· ποιεῖ δὲ
καὶ πρὸς τὰ χρόνια πάθη (ῥίγη) καὶ πρὸς τὰ ἀπεψυγμένα
ἢ παρειμένα τοῦ σώματος, ἄκρως ἁρμόζει:~

περὶ πευκεδάνου·

Πευκεδάνου· οἱ δὲ ἀγριόφυλλον· προφῆται, ἀγαθο
δαίμων· ῥωμαῖοι, πεταρίαν· ἐστὶ δὲ καυλὸς λεπτόν· ἰσχνόν·
μαράθρῳ ὅμοιον· τοὺς δὲ καυλοὺς καὶ τὴν ῥίζαν μέλαιναν·
βαρύοσμον· ἄσπρον· μεστόν· φύεται ἐν ὄρεσι καὶ
σύσκιοις· ὀπίζεται δὲ, τῆς ῥίζης κοπτομένης μαχαι
ρίῳ· καὶ τὸ ῥέον ὑπὸ τοῦ ὀπὸς αὐτοῦ, ἐν σκιᾷ ξηραίνεται·
ἀπὸ γὰρ τοῦ ἡλίου ἐν θέρει ἀνίεται· ἐν δὲ τῷ συλλέγε
σθαι, κεφαλαλγίαν ποιεῖ καὶ σκοτώματα, ἐὰν μὴ
προσάξῃ καὶ ῥοδίνῳ τὰς ῥῖνας καὶ τὴν κεφαλὴν ἀπι
χρίσῃ, ἄχρις ὀπισθεῖσα ἡ ῥίζα· ὀπίζονται δὲ καὶ οἱ καυ
λοί· ἐστὶ δὲ ἡ ῥίζα ὡς μανδραγόρας· ἡ τοῦ δὲ εὐαρεστεῖ·
ἐνίοτε δὲ ἀθροίζονται ὡς δάκρυον ὅμοιοι λιβάνῳ τοῦ ὀ
ποῦ τοῖς καυλοῖς· εὐόξεος δὲ καὶ ῥοδίνῳ ὁ ὀπὸς καὶ τε
βρεχόμενος, ληθαργικοῖς σκοτοματικοῖς· ἐπι
ληπτικοῖς· κεφαλαλγικοῖς· καὶ χρονίοις παραλυτικοῖς·
ἰσχιαδικοῖς· σπωμένοις· καὶ καθόλου τοῖς περὶ νεῦρα

πάθεσι χριόμενος, μετ' ἐλαίου καὶ ὄξους· ἔστι δὲ
καὶ ὀσφραντικός· πινόμενος ὑστερικοῖς· καὶ τῶν κατα
φερομένων ἀναληπτικός· διώκει δὲ καὶ θηρία
θυμιώμενος· καὶ πρὸς ὠταλγίας ἐνστάζεται σὺν
ῥοδίνῳ· καὶ μυδαλγίας ἐντίθεται· θέμενος δὲ τὰ βρώμα
τα· ποιεῖ δὲ καὶ πρὸς βῆχας μετ' ᾠοῦ λαμβανόμενος·
δυσουρίας τε καὶ στρόφοις καὶ πολιτικαῖς διαστρο
φαῖς ἁρμόζει· καὶ κοιλίαν τε ἠπίως μαλάσσει· σπλη
νας τήκει· καὶ τοῖς ἀξηνόχοις ἀρήγει· πρὸς τὰ πόνους καὶ
διατάσεις νεύρων καὶ νεφρῶν πινόμενος ποιεῖ· ἀνα
στομοῖ δὲ καὶ ὑστέραν· χρήσιμος δὲ καὶ ἡ ῥίζα πρὸς ταὐ
τα· πλὴν ἀλαιότερον ἐνεργοῦσα· πίνεται δὲ αὐτῆς
τὸ ἀφέψημα καὶ καθαίρει τὰ ξηρὰ καὶ ῥυπαρὰ ἕλκη·
καὶ λεπίδας ἀπὸ ὀστέων ἀφίστησι· καὶ ἀπουλοῖ τὰ πα
λαιά· μίγνυται καὶ κηρωταῖς· καὶ μαλάγμασι θερμαν
τικοῖς· εὐλύτοισι δὲ τὴν πρὸς φάτον· ἀβρώτου· στα
ρακοῦ· πλήρη ὀσμῆς· μίγνυται δὲ ὁ ὀπὸς δὲ τὰ πο
τήματα ἀμυγδαλίοις πικροῖς· ἢ πηγάνῳ ἢ ἄρτῳ
θερμῷ: ~ περὶ πολυποδίου·

πολυπόδιον· οἱ δὲ σκολοπένδριον· οἱ δὲ πτερίς· οἱ δὲ
πολύρριζον· ἡ ῥίζα τούτου δίδοται πρὸς κάθαρσιν ἀ
καθεψομένη, ὄρνιθι· ἢ μαλάχῃ· ἢ ἀραβίνθῳ· ξηρὰ
δὲ ἐπιπασσομένη ἐν μελικράτῳ, ἄγει φλέγμα καὶ χολήν·
καὶ πρὸς ὄμματα δὲ ἡ ῥίζα καταπλασσομένη· καὶ πρὸς
ῥαγάδας τὰς ἐν μέσῳ δακτύλοις ποιεῖ· φύλλα ἔχει
βραγχλωόμοια· τούτου τὴν ῥίζαν διατεινοῦσι παρὰ
τρίβοντες τοὺς πόδας καὶ εὐθέως τήξεται ἀπ' αὐτῶν, τὰ
τεταθηκῶς: ~ περὶ πολυμονίου·

πολυμόνιον· οἱ δὲ φιλεταίριον· οἱ δὲ χιλιοδύνα
μιν· κλωνία δὲ ἔχει τιτασσόμενα· φύλλα ὅμοια

καλαμίνθῃ· ἢ μᾶλλον ἀψίνθ(ῳ)· ἀραιῶ τὰ παραστάδας καὶ ἐκ
διαστημάτων· ἀπ' ἄκρου δὲ αὐτῶν κόρυμβοι· ἐν οἷς
τὸ σπέρμα μέλαν· ῥίζα ἐμφερὴς στρουθίῳ· φύε-
ται ἐν ἐλώδεσι τόποις· ταύτης ἡ ῥίζα πίνεται πρὸς
δυσεντερίας· ἐν οἴνῳ δυσουροῦσι δὲ καὶ ἰσχιαδικοῖς
μεθ' ὕδατος· σπληνικοῖς δὲ μετ' ὄξους· δραχμῆς ὁλ-
κῇ· περιάπτεται δὲ πρὸς σκορπιοπλῆγας· φα-
σὶ δὲ μηδὲ πλήττεσθαι τοὺς ταύτην κρατοῦντας·
κἂν πλήγωσι· μηδὲν πάσχειν δεινόν· ποιεῖ δὲ καὶ πρὸς
ὀδονταλγίας διαμασσωμένη·

περὶ πιτυούσης·

πιτυοῦσα· οἱ δὲ κυνῆμα· οἱ δὲ κράμβιον· οἱ δὲ παρά-
λιον· καυλοὺς ἀναδίδωσι πολυγόνου ὁμοίους σὺν τοῖς φύλ-
λοις· πλὴν ἀραιοτέροις καὶ τριχωδεστέροις· ἄνθη μι-
κρά· πορφυρᾶ· μεμιγμένα τοῖς τριχώδεσι φύλλοις·
ῥίζα λευκὴ παχεῖα· ἄοσμος· ~~ῥιζαρίῳ ὅμοια· τραχέα~~
δὲ καὶ δριμέα ~~φύλλα ἔχει πλατύτερα δέ~~ καθαίρει
δὲ κάτω ἡ μὲν ῥίζα δραχμῆς ὁλκὴ σὺν μελικράτῳ·

περὶ πυκνοκόμου·

πυκνόκομον· ῥιζαρίῳ ὅμοια· τραχέα δὲ καὶ δριμέα
φύλλα ἔχει· πλατύτερα δέ· καυλὸν τετράγωνον· ἄν-
θος ἐκ διαστημάτων καὶ καυλοῦ ὡς πρασίου· ῥίζαν
στρογγύλην· ὠχράν· ἐοικὼς κυαμίνῳ· φύεται ἐν
πετρώδεσι τόποις· δύναμιν ἔχει ὄναρ ποσποθὰς
ταραχώδεις καὶ πολλὰ ἐνύπνια ποιεῖν· παρηγορεῖ
δὲ καὶ οἰδήματα ἐπιπλαττόμενα σὺν ἀλφίτῳ· καὶ
ἀκίδας καὶ σκώλωπας· τὰ δὲ φύλλα καταπλαττό-
μενα, φύματα καὶ χοιράδας διαφορεῖ· ἡ δὲ ῥίζα
αὐτῆς, κοιλίας μαλάττει καὶ χολώδους· δίδοται δὲ ∠
β´· σὺν μελικράτῳ·

περὶ παιονίας·

παιονία· οἱ δὲ, ἀγλαοφωτίδα καλοῦσι· οἱ δέ, πεν
ταόροβον· οἱ δὲ γλυκυσίδην· οἱ δὲ ἀλεξίνην· οἱ δὲ παρ
θενίκη· οἱ δὲ παιόνιον· οἱ δὲ μοτζώνιον· οἱ δὲ μηκώνιον· οἱ
δὲ αἷμα τώτου· οἱ δὲ, ὀράβαξ· οἱ δὲ ἀφιάλτην· καυ
λοὺς δὲ ἀνίησι πηχυαίους, τέσσαρας ἢ πέντε· ἢ καὶ
πλείους, ἐξ αὐτῆς φυῆς ἐρυθροειδεῖς· ἐν δὲ τούτων
κλῶνες ἀνάρχονται ἐν διαστήματι· ἐξ ἑνὸς ὄζου,
τρεῖς συνεχεῖς διὰ ἑκάστου καυλοῦ· φύλλα ὅμοια σε
λίνῳ γλωσσοειδῆ· πλατύτερα δὲ καὶ πολύσχιδα καὶ τρί
χιστα· ἢ τετράχιστα· συνημμένα δὲ κάτωθεν ὡς ἐ
ξ ἑνὸς κάρφους τῶν τοιούτων γλωσσοειδῶν τριχθα
δίων φύλλων ἀνιόντων ἀπὸ παντὸς καυλοῦ· πλεῖον καὶ
συνεχῶν τῶν φύλλων ὄντων· μέσσου δὲ τῶν φύλλων,
ἀνίησι σελάχη μακρά· ἐφ' οἷς καὶ ἄνθος μέγα ἐρυθρὸν·
πάνυ ὅμοιον ἀνεμώνῃ ἐρυθρᾷ· ἢ καὶ μᾶλλον βαθύ
τερον· ὅ καὶ ἀποτριβὲν καὶ εἰς κάρ πογονίαν προϊὼν,
τρίδυμον ἢ τρίβολον ἢ τετραθύλακον πολλάκις
γίνεται, τὸ ἐπιπωμάτιζον τὸν καρπὸν λέπος, ὅμοι
ον τοῦ ποντικοῦ καρύου· ἔστι δὲ τοῦτο τραχὺ καὶ σκληρὸν
καὶ μαλλωτόν· ὁ δὲ καρπὸς περικάζει, μέλας γίνεται
ἰσολαθυροειδὴς ἢ μείζων· ῥίζας πολλάς· καὶ ὡς ἐξ ἑνὸς
κάρφους διακλημένας ἴσας φοινικοῖς μεγάλοις· χρώ
μασι ὑποξύζουσαι· ταύτης τὴν ῥίζαν ὁ δὲ θεὶς τὴν
γλῶσσαν ὑπὸ νάρκης, κἂν πνίγηται, καὶ λύεται· ὁ
βαστάζων τὴν ῥίζαν, οὐ φοβηθήσεται μαγείαν·
ὁ βαστάζων τὴν ῥίζαν δὲ ὁδοῦ, θηρίου οὐ φοβηθή
σεται· ὁ ὑπὸ δαίμονος ὀχλούμενος, ἂν περιθυμιά
σῃ τὴν ῥίζαν ξηρὰν λειπούσης σελήνης τρίς, τοῦ
πάθους ἀπαλλαγήσεται· ὁ θυμιάσας τὴν ῥίζαν

καὶ τὰ φύλλα τῆς βοτάνης ταύτης, εἰς τὸ ὀσπίτιον
αὐτοῦ, οὐκ ἐσέλθουσιν πνεῦμα πονηρόν· ὁ πι
ὼν τὸ σπέρμα αὐτῆς μετὰ οἴνου, ἀπαλλαγήσονται
παντὸς πόνου τοῦ σώματος· καὶ παντὸς πονηροῦ συν
τήματος, καὶ βασκάνου ὀφθαλμοῦ· ὁ δεθεὶς τὴν
ῥίζαν ἀπὸ τὸ πρὸς κεφάλαιον αὐτοῦ, κακὸν ὄνειρον
οὐ μὴ θεάσονται· ἀπὸ κοκκία τοῦ ταύτης σπέρ
ματος ὑποκείμενα ἀσθενῆ θέμελα, διανοίαν
ὀξυνεῖ· ὁ φορῶν δεθεὶς εἰς τὸν δεξιὸν βραχίονα
πονηρὰς πόρνας καταργεῖ, ἤτοι μαντρίας· ὁ φορ
ῶν δεθεὶς εἰς τὸ δεξιὸν γόνυ, ὠφελεῖ εἰς τὸ σπλῆνα· ὠ
φελεῖ καὶ τοῦ πωματικοῦ· ὁ φαρμακευθεὶς καὶ
πιὼν αὐτήν, οὐ βλαβήσονται· ὁ σπόρος πινόμενος
μετὰ εὐκράτου μέλιτος, ὠφελεῖ ὅλον τὸ σῶμα· ὁ
μοίως καὶ ἐκτυπῶς τοῦτον πίῃ· γλυκοῦ αἰθίου σὺν τὴν
ῥίζαν, ἄξει γάλα πολύ· ὁμοίως καὶ μετὰ ἀφεψή
ματος μαράθρου ἡ ῥίζα πινομένη σὺν οἴνῳ, ἄγει
γάλα πολύ· ἡ ῥίζα πινομένη μετὰ οἴνου· κυριά
ἀταυῦ ὕδρωπων· ὁ πονῶν τὴν κοιλίαν, πινάτω τὴν
ῥίζαν μετὰ οἴνου ἀκράτου καὶ ἰαθήσονται· ὁ μαινό
μενος καὶ φαγὼν καὶ καπνισθεὶς τὴν ῥίζαν εἰς φυγα
ρια τὰ ἄθρα, ἀπαλλαγήσονται τοῦ δαίμονος· ὁ
ταν γεννηθῇ τὸ βρέφος ἀπαρτρίψας τὴν ῥίζαν καὶ
μίξας μετὰ ἐλαίου ἄκρατος καὶ ὑποδέσας πιεῖν· ἄσαι
ἐπιτυχεῖ· ὁ κρατῶν τὴν ῥίζαν ἢ τὸ φύλλον ἢ τὸ ἄνθος,
μὰ ὑπὸ ὄφεως οὐ δηχθήσονται ποτέ· ὁ φαγὼν
τὴν ῥίζαν μετὰ μέλιτος, ἀσθενεῖ οὐδενός· ἀπὸ γένη
φθορᾶς θανάτου, καὶ θύσας αὐτὴν ὑποκάτω
τοῦ κατωφλίου, οὐ μὴ ἐσέλθῃ θανάτος εἰς
ἐκεῖνο τὸ οἶκο· ὁμοίως καὶ εἰς τὰ ζῶα ἀντέρηνται

τοῦτο, ποτιζόμενον τὴν ῥίζαν· ὠφελεῖ καὶ εἰς δυσουρίαν·
στραγγουρίαν· αἱμορροΐαν· καὶ ἕλκωσιν κύστεως·
καὶ ἁπλῶς εἰπεῖν εἰς πάσας τὰς βοτάνας μιγνυμένη,
εἰς πάσας τὰς αἰτίας τῶν νόσων ποιεῖ :~

περὶ περιστερεῶνος ὀρθοῦ·

περιστερεὼν ὀρθός· οἱ δὲ τριγώνιον· οἱ δὲ ἱερὰ βο-
τάνη· οἱ δὲ φιλτροδότην· οἱ δὲ ταυροβότανον·
οἱ δὲ αἷμα γαλῆς· φύεται ἐν πετρώδεσι καὶ ἐν πα-
ρόδοις· καὶ ἐν αὔλαξι καὶ ἐν φρεατίοις· δοκεῖ δὲ τὰ φύ-
λλα σὺν ῥοδίνῳ ἢ στέατι ὑείῳ προστιθέμενα, ἀ-
νωδυνίαν ὑστέρας περιποιεῖν· ἔτι δὲ καὶ ἀρτιπύ-
λατα, σὺν ὄξει καταπλασθέντα· καὶ σηπεδόνας
ἐπέχει· καὶ τραύματα κολλᾷ· καὶ ἀπουλοῖ τὰ πα-
λαιὰ σὺν μέλιτι. — περὶ περιστερεῶνος ὑπτίου·

περιστερεὼν ὕπτιος· οἱ δὲ ἱερὰν βοτάνην· οἱ δὲ φε-
ρασφόνιον· οἱ δὲ δημήτριον· ταύτης τὰ φύλλα καὶ
ἡ ῥίζα ποτιζόμενα μετὰ οἴνου καὶ καταπλασσόμενα,
ποιεῖ πρὸς ἑρπήτας· προσέτι δὲ ἴκτερον τὰ φύλλα ὅσον
ὁλκὴν μετὰ λιβανωτοῦ σὺν οἴνῳ παλαιῷ θερ-
μῷ· νῆστει ἐπὶ ἡμέρας ζ´· πινόμενα ὠφελεῖ· οἱ δὲ
καὶ τὰ παλαιὰ καὶ φλεγμονὰς καταπλασθέν-
τα φύλλα, πραΰνει καὶ ῥυπαρὰ ἕλκη καθαίρει·
ἑψηθέντα δὲ ὅλη σὺν οἴνῳ, ἀφθὰς τὰς ἐν παρι-
σθμίοις καὶ νομὰς τὰς ἐν στόματι διαγαργαριζομένη,
ἀφίστησι· ῥαινόμενον δὲ ἐν συμποσίῳ τὸ ἀπόβρεγ-
μα, διαγωγοτέρους ποιεῖν ἱστόρηται· δίδοται δὲ
τριταΐζουσι πίνειν, τρίτον γόνυ ἀπὸ τῆς γῆς σὺν τοῖς
περικειμένοις φύλλοις· τεταρταΐζουσι δὲ τὸ τέταρτον·
καλοῦσι δὲ αὐτὴν ἱερὰν βοτάνην διὰ τὸ εὔχρηστον
αὐτὴν ἐν τοῖς καθαρμοῖς εἶναι εἰς περίαμμα. ~

κεφαλαλγίαν ἄκρως ἀπα-
λλάττει· στεφανουμένη καὶ κατα-
μετὰ ὄξους καὶ ῥοδίνου ἐπι-
χριομένη· καὶ αὐτομένη δὲ κατὰ
λαδοῦ καὶ συμβρυχομένης τῆς
κεφαλῆς, ἰᾶται πᾶσαν χρο-
νίαν κεφαλαλγίαν· καὶ τὰς ῥευ-
ούσας τρίχας ἐπέχει· τὸ δὲ ἀ-
φέψημα τῆς ῥίζης διακρατού-
μενον θερμὸν τῷ στόματι, ὀδόν-
τας ἀνώδυνα· καὶ κινουμένους στό-
δοντας κρατύνει· πρὸς δὲ πολυνικοὺς
τῆς ῥίζης ἀναδρομικῶς, καὶ ταύτη
μεθύσατε ἕως τὸ ἥμισυ· καὶ δί-
δου πιεῖν ἐν ἡμέραις θ´· ἐσθίειν
διὰ πέρας· καὶ λιθιῶντας· καὶ ἀρχὰς
ἐξ ὑδερικῶν σφαιρῶν ὁμοίως
πίνειν τὸ ἀφέψημα, μετὰ ἄρτου
λιπαροῦ· χρῶ δὲ ὅρμοι καὶ πρὸς ἀπλη-
πτικοὺς· καὶ ἀφημερινοὺς καὶ τε-
ταρταίους πυρετούς· πρὸ ἀπαρα-
κρούσεως καὶ ἰσχιαδικοὺς, ἐν οἴνῳ αὐτὸ
τὸ δίδου· χυλιζομένη δὲ ἡ ῥίζα,
κλύσμα συρίγγων ἄριστον γίνεται·
μάλιστα συμμιγνυμένου συκαμί-
νου ὀποῦ καὶ μέλιτος· καὶ καυθεῖ-
σα καὶ ξηρὰ ἐπιπασσομένη, ἰᾶται
σύριγγας· καὶ σὺν μέλιτι δὲ ἀλειφ-
θεῖσα ἐγκαυομένη· ἐντίθεται
τὸ συριγγῶδες κολλύριον, καὶ ποιεῖ
παραυτίκα :~

περὶ πηγάνου κηπαίου:

πήγανον κηπαῖον· ῥωμαῖοι, ῥοῦτα ὁρτένσε· οἱ δὲ πήγα
νον ἄγριον· οἱ δὲ λακεδαιμόνιον· ἐστὶ δὲ τὸ μὲν ὀρεινόν·
τὸ δὲ ἥμερον, κηπαῖον· καὶ τὸ μὲν ἄγριον τοῦ κηπαίου
δριμύτερον· καὶ ἄθετον· ἀμφότερα δὲ θερμαντικὰ
ἐστὶ δὲ ἀμφότερα οὐρητικά καὶ ἐμμήνων ἀγωγά· ἐσθι
όμενα καὶ πινόμενα κοιλίαν ἵστησι· καὶ τῶν φθαρτικῶν
φαρμάκων ὅσον ὀξύβαφον τοῦ σπέρματος ποθέν,
ὠφελεῖ· καὶ προβρωθέντα μὲν τὰ φύλλα καθ' αὑτὰ
μετὰ καρύων βασιλικῶν καὶ σύκων ξηρῶν, ἵστησι
τὰ θανάσιμα· καὶ πρὸς ἑρπετὰ ἁρμόζει λαμβανό
μενον· γονήν τε σβεννύουσι ἐσθιόμενον καὶ πινόμενον·
ἑψηθέν τε σὺν ἀνήθῳ ξηρῷ καὶ ἀλφοὺς παύει· ποι
εῖ καὶ πρὸς πλευρᾶς πόνον καὶ δύσπνοιαν· βῆχας· πε
ρὶ πνεύμονος ἀλγήματα· [illegible] περιοδικὰ πινόμενον
ὡς πὰρ εἴρηται· ἐμπνευματώσεις δὲ κώλου καὶ ὑστερ
ῶν ἀποσβεννύουσι σὺν ἐλαίῳ ἑψηθὲν καὶ ἐνεθέν· πήγας
τὰς ὑστερ[illegible] πινόμενον μετὰ μέλιτος· καὶ κατὰ τοῦ αἰ
δοίου ἄχρι δακτυλίου ἐντεθὲν παραστάται· ἀναζε
σθὲν δὲ σὺν ἐλαίῳ καὶ ποθὲν ἀλμίνθας ἐκτινάσσει· κα
ταπλασσόμενον τε δὲ καὶ πρὸς οἰδήματα, σὺν μέλιτι· σὺν
δὲ σύκῳ πρὸς ὑδρῶπας· ἐστὶ δὲ ὀξυωπὲς ἐσθιόμενον·
καὶ ταριχευθέν· καὶ τὰς ἐν ὀφθαλμοῖς περιοδυνίας
σὺν ἀλφίτοις καταπλασθὲν πραΰνει· σὺν ῥοδίνῳ δὲ
καὶ ὄξει, κεφαλαλγοῦσι βοηθεῖ· αἱμορραγίας τὰς ἐκ μυκ
τήρων ἐντεθὲν ἀπέχει· τὰς δὲ ἐν τοῖς διδύμοις φλεγμο
νὰς σὺν δάφνης φύλλοις καταπλασθὲν ὠφελεῖ· καὶ τὰ
ἐξανθήματα· σὺν μυρσίνῃ κηρωτῇ· σὺν νίτρῳ δὲ
περί[illegible] σμηχόμενον, λεύκας ἀλφούς τε· καὶ κατα
πλασθὲν δὲ μετὰ τῶν τοιούτων, θύμους τε καὶ μυρμηκίας

ἀρτ(ηρίας)· ὠφελεῖ καὶ δὲ λειχῆνας σὺν μέλιτι καὶ κηρίᾳ ἐ-
πιτιθέμενος· ὁ δὲ χυλὸς ποιεῖ πρὸς ὠταλγίαν ἐν
σιδίῳ, θερμανθεὶς καὶ περιχριόμενος· ἄρτι πάλα(?)
τάτα καὶ ἀρ πύτας(?)· σὺν ψιμμυθίῳ καὶ ῥοδίνῳ καταχριό- ἐγχεόμενος·
μενος ἰᾶται· καὶ ἀμβλυωπίας βοηθεῖ μετὰ μαράθ-
ρου χυλοῦ καὶ μέλιτος ἐγχριόμενος· τάς τε ἀπὸ σκόρ-
δου καὶ κρομμύων ὀσμὰς καὶ δριμύτητας φύλλα ἐ-
πιμασηθέντα ἀδραστεῖται(?)· τὸ δὲ ὀρεινὸν πολὺ
βρωθὲν κτείνει·~ περὶ πηγάνου ἀγρίου

πήγανον ἄγριον· οἱ δὲ, ὑπερικόν· οἱ δὲ, ἀνδρόσαιμον·
οἱ δὲ, κόρου· οἱ δὲ, χαμαιπίτυν· οἱ δὲ σεντουκα-
λίς(?)· τὸ σπέρμα ὀσμὴν ἔοικε ῥητίνης· ἢ πίτυος· ἣ
καὶ ὠνόμασαν χαμαιπίτυν· φύλλα ἔχει πηγάνῳ
παραπλήσια· θαμνίον φρυγανῶδες· ἄνθος
ἄχροιο(?) μηλίνου· κλωνίον δὲ ὑπόσπανον(?)· προμήκη
ἔχον τὰ περιφερῆ, ὅμοιον κριθῇ· ἐν ᾧ σπέρμα ξανθὸν
τρίγωνον· ἐκ ῥητίνης ὄζον· φύεται ἐν ἀργασίμοις καὶ
τραχέσι χωρίοις· δύναμιν δὲ ἔχει διουρητικήν·
καὶ ἐμμηνίων ἀγωγόν, πρὸς τὸ θέρμον(?) τεταρταίου
ἀπαλλακτικὸν μετ' οἴνου πινόμενον· θεραπεύει δὲ
καὶ ἰσχιάδας ἐπὶ ἡμέρας μ' πινόμενον· τὸ δὲ σπέρμα
σὺν τοῖς φύλλοις καταπλασσόμενον, κατακαύματα
ἰᾶται·~ περὶ περδικίου·

περδίκιον· οἱ δὲ λιανομάχιον(?)· οἱ δὲ σιδηρῖτιν· οἱ δὲ
ἀλξίνην· οἱ δὲ χαμίς· οἱ δὲ πολυώνυμον· οἱ δὲ πο-
λλοὶ τῶν αὐτῶν κολλητικὴν καλοῦσι· φύεται παρὰ
τοίχους· καυλία δὲ, σπιθαμιαῖα· ὑπέρυθρα·
φύλλα ὅμοια, λινοζώστει· δασέα· περὶ δὲ τοὺς καυλ-
ούς, οἷον δὲ σπέρματα τραχέα· ἀντιλαμβανόμενα
τῶν ἱματίων· δύναμιν δὲ ἔχει τὰ φύλλα ψυκτικήν·

ὀθονικά τε πλασσόμενα, ἰᾶται ἐρυσιπέλατα·
κυνόδηκτα, κονδυλώματα· κατακαύματα·
φύγεθλα ἀρχόμενα· καὶ πᾶσαν φλεγμονήν· καὶ
οἰδήματα· ὁ δὲ χυλὸς αὐτῶν μιγεὶς ψιμμυθίῳ,
ἐρυσιπέλατα καὶ ἕρπητας ὠφελεῖ καταχριόμενον
καὶ ποδάγρας σὺν κηρωτῇ πραΰνει, ἀναληφθὲν δὲ
τραγείῳ στέατι· ὠφελεῖ καὶ βοηθεῖ νοσοῦσι χρονίως, ὁ χυ-
λὸς καταρροφούμενος ὡς ἐκμάθος· καὶ παρισθμίοις
φλεγμαίνουσιν ἀναγαργάρισμα καὶ διάχρισμα ὠ-
φέλιμον· καὶ ὠταλγίαις σὺν ῥοδίνῳ ἐγχεόμενον:~

περὶ πενταφύλλου:

Πεντάφυλλον· οἱ δὲ πεντάπετες· οἱ δὲ ἑπταπλεύριον·
οἱ δὲ πεντάπετα· οἱ δέ, πεντάτομον· οἱ δέ, πεν-
ταδάκτυλον· οἱ δὲ ψευδοσέλινον· οἱ δὲ καλλιπέτα-
λον· οἱ δὲ ἀσφάλτιον· Ῥωμαῖοι, κινκουεφόλιουμ·
κλωνία φέρει καρφοειδῆ· λεπτά· σπιθαμιαῖα· ἀ-
φ' ὧν ὁ καρπός· φύλλα δὲ ἔχει, ἐοικότα ἡδυόσμῳ·
καθ' ἕκαστον μόσχον ὡς πέντε· σπανίως δὲ πλείονα κύ-
κλοθεν ἐσχισμένα πριονοειδῶς· ἄνθος δὲ ὠχρόν·
φύεται δὲ ἐν ἐνύδροις τόποις καὶ παροχετίοις· ῥίζαν
δὲ ἔχει, ὑπέρυθρον ἐπιμήκη· ὑπόπαχυν· ἥν
δὲ πολύχρηστον· οἱ δέ, τῆς θεοῦ τῆς ἀκεστικῆς
τοῦτο ὀνομάζουσιν· δύναται δὲ τὸ τῆς ῥίζης ἀφέ-
ψημα, ἄχρι τοῦ τρίτου καταβιβασθὲν τῇ ἑψήσει,
ὀδονταλγίας παύειν διακρατούμενον τῷ στόματι
καὶ διακλυζόμενον· ἵστησι τραχύτητας ἀρτηρίας ἀνα-
γαργαριζόμενον· παρίστησι τὰς κοιλίας ταραττομένας· καὶ
δυσεντερίᾳ βοηθεῖ· ἀρθριτικοῖς τε καὶ ἰσχιαδικοῖς
πινόμενον· ἑφθὴ δὲ ἐν ὄξει λεία ἡ ῥίζα καταπλασσο-
μένη, ἕρπητας ἐπέχει· διαφορεῖ χοιράδας· σκλη-

ρι· οἰδήματα· νεῦρ ἀναστήματα· ἀποστήματα·
πτερύγια τά τε ἐν δακτύλοις· καὶ κονδυλώματα·
καὶ θύμους ἰᾶται· ὁ δὲ χυλὸς τῆς ῥίζης ἁπλοῦς ποιεῖ
πινόμενος, τὰ ἐν ἥπατι ἰᾶται τὰ θανάσιμα· τὰ
δὲ φύλλα πίνεται ἐν ὑδρομέλιτι ἢ οἴνῳ κεκραμένῳ
καὶ πεπέρει ὀλίγῳ, πρὸς περιόδους· ἀπὸ μὲν τεταρ-
ταίων, δ´ κλωναρίων· ἀπὸ δὲ τριταίων, τριῶν· ἀπὸ
δὲ ἀμφημερινῶν α´· δίδοται δὲ καὶ ἐπιληψίαν πινόμενα
ἐφ᾽ ἡμέρας μ´· ὑγιάζει δὲ ἴκτερον ταχέως, ὁ χυλὸς τῶν
ῥιζῶν ποθεὶς ἐπὶ τινὰς ἡμέρας τριῶν κυάθων πλῆ-
θος· τραύματά τε καὶ ἐρυσιπέλατα καὶ σύριγγας
μετὰ ἁλῶν καὶ μέλιτος ἢ σὺν θείῳ γάλακτος κατα-
πλασσόμενα ἰᾶται· βοηθεῖ καὶ ἐντεροκήλοις· αἱ-
μορραγίαν παύει· τοιαύτην ἴσχει πινόμενον καὶ καταπλα-
σσόμενον· παραλαμβάνεται καὶ πρὸς ὑπερκαθαρ-
μοὺς· καὶ γυναικῶν αἱμορροΐας· ὁ χυλὸς τῆς πόας πι-
νόμενος καὶ ἐπὶ πολλῶν τοιούτων· ποιεῖ καὶ πρὸς συκαμί-
νου χλωρὸν μετὰ ἄλατος καταπλασθέν· ποιεῖ καὶ πρὸς ἀ-
πόστασιν ἥπατος αὐτοῖς, ὁ χυλὸς τῆς ῥίζης ἅμμοτος,
καὶ αὐτὴ λεία ξηρὰ ἐπιπασσομένη τοῖς μότοις μετὰ
τὴν δὲ αἴρουσιν :~ ⁘ περὶ πολυγόνου ἄρρενος ⁘

Πολύγονον ἄρρεν· οἱ δὲ πολυγόνατον· οἱ δέ, κυνοχαλλίς·
οἱ δὲ ἀσφάλτιον· οἱ δέ, χιλιόφυλλον· οἱ δὲ πολύ-
καρπον· ῥωμαῖοι, σημινάλις· οἱ δὲ ἰσιῶται καὶ
μάλιστα οἱ ἀγρῶται, σισηρίτην τοῦτο λέγουσιν· οἱ δὲ
χιονόβοσκον· πόα ἐστὶ κλῶνας ἔχουσα λεπτούς
τρυφερούς, πολλοῖς γόνασι περιειλημμένους· ἕρ-
ποντας καὶ ἐπὶ γῆς ἐστρωμένους· φύλλα δὲ πηγάνῳ
ὅμοια· ἐπιμηκέστερα καὶ μαλακώτερα· ποιεῖ δὲ ἄν-
θος λευκόν· ἐνίοτε καὶ φοινικοῦν· σπέρμα δὲ ἔχει

στυπτικήν· ψυκτικήν· ὁ δὲ χυλὸς πινόμενος, ἁρ-
μόζει αἱμοπτοϊκοῖς, καὶ στραγγουριῶσι· ἄγει δὲ καὶ
οὖρα ἐμφανῶς· βοηθεῖ καὶ θηριοδήκτοις μετ' οἴνου
πινόμενος· καὶ πρὸς περιόδους, πρὸ μιᾶς ὥρας τῆς
ἐπισημασίας λαμβανόμενος· ἵστησι δὲ καὶ ῥοῦν
γυναικεῖον· προστεθὲν ὑπόθετα· πρὸς δὲ ὠταλγίαν
καὶ πυορροίας, ἐνσταζόμενος ἁρμόζει· συναφεψηθεὶς
δὲ οἴνῳ καὶ μέλιτος τοῦ προσλαβών, ἄκρως ποιεῖ
καὶ πρὸς τὰ ἐν αἰδοίοις ἕλκη· καταπλάττεται δὲ τὰ
φύλλα, καὶ πρὸς στομάχου ἔγκαυσιν· καὶ αἵματος ἀνα-
γωγήν· καὶ ἕρπητας· καὶ ἐρυσιπέλατα· καὶ φλεγμο-
νάς· καὶ οἰδήματα· καὶ τραύματα πρόσφατα.

περὶ πρασίου

πράσιον· οἱ δέ, ἀπατώριον· οἱ δέ, φιλόπαις· οἱ δὲ
μελίφυλλον· οἱ δὲ μελίκτενον, διὰ τὸ τὰς μελίσσας
ἥδεσθαι ταύτῃ, καὶ τὸ κατὰ σφᾶς ἐπιλανθανόμενας
χωρίου· οἱ δὲ καλμυλοπόδιον· οἱ δὲ τραπέζηλου· οἱ
δὲ φυλλοφαρθό· Ῥωμαῖοι, μαρρούβιουμ· προφῆται,
αἷμα ταύρου· φράγγοι μαρρουπίουμ· θάμνος ἐστὶν ἐκ
μιᾶς ῥίζης, πολύκαυλος· ὑπόδασυς· λευκός· τε-
τράγωνος τὰς ῥάβδους· φύλλον δέ, ἴσον· ὑποστρο-
γγύλου· δασύ· νερίσσων· πικρὸν τῇ γεύσει· ἐν διαστή-
μασι δέ, ἐπὶ τοῦ καυλοῦ τὸ σπέρμα, καὶ τὰ ἄνθη,
ὡς σφόνδυλοι τραχέα· φύεται περὶ τὰ οἰκόπεδα
καὶ ἐρείπια· τούτου τὰ φύλλα ξηρὰ σὺν τῷ σπέρμα-
τι ἀφεψόμενα σὺν ὕδατι· ἢ χυλιζόμενα χλωρὰ
μετὰ μέλιτος, φθισικοῖς, ἀσθματικοῖς· βήσσου-
σι· ἄγει καὶ πάχος ἐκ θώρακος, ἴρεως ξηρᾶς μιγεί-
σης· δίδοται καὶ ταῖς μὴ καθαιρομέναις γυναιξί,
πρὸς ἀγωγὴν δευτέρων· καὶ δυστοκούσαις καὶ θηριο

δήκτοις· καὶ τοῖς θανασίμοις τοῖς πεπωκόσι· κύστη μέν τοι καὶ νεφροῖς ἀντίθεται· τὰ φύλλα δὲ καταπλασσόμενα σὺν μέλιτι, ἢ σὺν παρὰ ἀναπλασθεῖσα ἕλκη καὶ πληγὰς καὶ νομὰς ἀφίστησι· καὶ ὀδύνας πλευρῶν παραιτεῖται· καὶ τὸ ἐξ αὐτῶν δὲ συναγόμενον χυλίσμα, ἐκθλιβομένων τῶν φύλλων καὶ συστρεφομένων ἐν ἡλίῳ, τοιαῦτα ποιεῖ· ἄστι δὲ ὀξύπορος, σὺν μέλιτι ἢ ἀρχεῖ ὄμενος· καὶ ἴκτερον ἀποκαθαίρει διὰ τῶν ῥινῶν· ὠταλγίαις τε ἁρμόζει ἐγχυματιζόμενον καθ' αὑτὸ καὶ μετὰ ῥοδίνου:~

⁘ περὶ πεπλίου ⁘

πέπλιον· οἱ δὲ χαμαισύκην· οἱ δέ, πεπλίδα· οἱ δέ, πολύγαλον· οἱ δὲ ἀνδράχνην θαλασσίαν· ἢ ἀγρίαν· οἱ δὲ πέπων· οἱ δὲ πέπλον· οἱ δὲ σύμφυτον· οἱ δὲ ἰδιῶται ποροδοβότανον καλοῦσι τοῦτο· φύεται ἐν παραθαλασσίοις τόποις· θάμνος ἀμφιλαφής· ὀποῦ μεστὸς λευκοῦ· φύλλον ἔχον ὅμοιον τῇ κηπαίᾳ ἀνδράχνῃ· περιφερὲς δέ· καὶ ἐπ' αὐτοῦ κάτω ἐρυθρόν· καὶ καρπὸς δὲ στρογγύλος ὑποκάτω τῶν φύλλων, ὡς περ τοῦ πεπλίου· πυρώδης μὲν τῇ γεύσει· ῥίζα δὲ λεπτὴ μία· ἄχρηστος· συνάγεται δὲ ἐν πυραμητῷ· ξηραινόμενον καὶ ἐκθλίβεται καὶ συνάγεται καὶ στρεφόμενον· ἀποτίθεται δὲ αὐτῆς ὁ καρπὸς ἀποβραχείς· ἄγει δὲ φλέγμα καὶ χολὴν ὀξύβαφου πλῆθος μετὰ ὑδρομέλιτος κοτύλης πινομένης· καὶ ἐν ἀρτύμασι καὶ γυμνὸς, ταράττει κοιλίαν:~

⁘ περὶ πολυκνήμου ⁘

πολύκνημον· οἱ δὲ κλινοπόδιον· οἱ δὲ πολυγόνατον· οἱ δὲ ἰδιῶται ὑλακτικόν· θαμνίον ἐστὶ φρυγανῶδες· ἔχον φύλλα ὀριγάνῳ ἐμφερῆ· τοὺς δὲ καρπούς, πολυγόνατον ὡς περικλύμενον· οὐχὶ μέν τοι τὸ σὺν ἀδίου· μικρὰ

δὲ ἀπαλήρου κορύμβια· δριμύτητι μετέχουσι· ποιεῖ δὲ καὶ τὰ πλασσόμενα ξηρὰ ἢ χλωρὰ μετὰ ὄξους τὰ πρόσφατα τραύματα κολλῶνται· ὁ δὲ ἐκ πέμπτου χυλὸν· πίνεται καὶ πρὸς στραγγουρίαν καὶ δήγματα, σὺν οἴνῳ διδόμενον:~

※ περὶ πετασίτου ※

πετασίτης· ταύτης τὸ φύλλον λεῖον ποιεῖ πρὸς κακοήθη καὶ φαγεδαινικὰ ἕλκη καταπλασσόμενον:-

※ περὶ πράσου κηπαίου ※

πράσον κηπαῖον· οἷον, κεφαλωτόν· ἐρώμαζοι, πορουμ· ἄγονον καὶ κακόχυλον δυσόνειρον· οὐρητικόν· λεπτυντικόν· καταμηνίων ἀγωγόν· κύστεως ἡλκωμένης καὶ νεφρῶν, ἀποφρακτικόν· καὶ καταμηνίων ἀγωγὸν μετὰ πτισάνης βρωθὲν ἢ ἄλλως ἀτὰρ καὶ ἐν θώρακος· ἡ δὲ κόμη αὐτοῦ ἀφεψηθεῖσα ἐν θαλάσσῃ καὶ ὄξει, ἐγκάθισμα χρήσιμόν ἐστι, πρὸς μύσιν καὶ σκληρίαν ὑστέρας· ἀπογλυκαίνεται δὲ καὶ ἀφυσώτερον γίνεται, δὶς ἐν ὕδασιν ἀφεψηθὲν καὶ ἀποβραχὲν ὕδατι ψυχρῷ· ὁ δὲ χυλὸς αὐτοῦ ἱστῆσι σὺν ὄξει καὶ μάλιστα τὸ ἐκ μυκτήρων φερόμενον, μάννης ἢ λιβανωτοῦ μιγέντος· καὶ τὰ ἐν τῷ θώρακι πάντα σὺν μέλιτι ἐκλεικτόν· ποιεῖ, καὶ πρὸς φθίσεις· καθαίρει δὲ καὶ τὴν ἀρτηρίαν βρωθέν· ἐσθιόμενον δὲ συνεχῶς, ἀμαυρωτικὸν ὄψεως γίνεται καὶ κακοστόμαχον· ἀρήγει καὶ θηριοδήκτοις σὺν μελικράτῳ πινόμενος ὁ χυλός· βοηθεῖ καὶ ὠταλγίαις καὶ ἤχοις σὺν ὄξει καὶ λιβανωτῷ ἢ γάλακτι ἢ ῥοδίνῳ ἐνσταλάς· ἁρμόζει καὶ ἴονθους τὰ φύλλα, σὺν ῥύπου τοῦ ἐπὶ τὰ ὦτα καταπλασθέντα· καὶ ἐπινυκτίδας ἰᾶται· ἀχῶράς τε παριερήπτει, σὺν ἁλσὶ ἐπιπλαττόμενον· τοῦ μὲν σπέρματος 𐅶 β μύρτων ἴσον ποθεῖσαι, τὰς χρονίους ἀπαγωγὰς τοῦ αἵματος ἐπέχουσιν:~

⁘ περὶ πάνακος ⁘

πάναξ ἡρακλεωτική· οἱ δὲ ἀσκληπιάδιος· οἱ δὲ κο
ρώνιον· ῥωμαῖοι, ὄλισαθρουμαίους· ἀγροῦ, ὁ
ποπάναξ συλλέγεται· φύεται δὲ ἐν ψωφῖδι· ἐν βοιωτίᾳ·
καὶ ἐν ἀρκαδίᾳ· ὥστε καὶ ἐπιτηδεύειν κηπεύεσθαι, διὰ
τὴν τοῦ ὀποῦ πρόσοδον· φύλλα δὲ τραχέα· χαμαι
πετῆ· χλωρὰ σφόδρα· πρὸς τὰ τῆς συκῆς ἐγγύτατα
περιφερῆ, ἄκρα σχιζόμενα πενταμερῶς· ἤδη πρίονος ὀδοῦς·
καυλὸν δέ, ὡς νάρθηκος· ὑψηλοῦ· ὑπέρυθρον·
ἔχοντα καὶ χνοώδη λεπτοῦ ἔχοντος, ὑπόλευκον· καὶ
φύλλα τὰ περὶ αὐτοῦ ὑπόλευκα· σκιάδιον δὲ ἐπ᾽ ἄ
κρου, ὡς ἀνήθου· καὶ ἄνθος μήλινον· σπέρμα εὐώ
δες, καὶ πυρῶδες· ῥίζας πλείονας, ἐκ μιᾶς ἀρχῆς·
λευκάς· ἢ καὶ ὑπερύθρους· βαρυόσμους· παχὺ
ἐχούσας τὸν φλοιοῦ· ὑπόπικρον τὴν γεῦσιν· ὀπίζεται
δὲ ἡ ῥίζα ἐπιτεμνομένη, ἄρτι βλαστῶν ὄντων τῶν
καυλῶν· πάνακος ὁ ὀπὸς πινόμενος σὺν οἴνῳ καὶ
θυμιώμενος, ἐπιληπτικοὺς ἰᾶται καὶ σπασμούς αὐτῶν·
ἀναιρεῖ δὲ λευκοῦ ὀποῦ· ὃς ξηρανθεὶς κατὰ τὴν
ἐπιφάνειαν κροκίζει· δέχονται δὲ τὸ ἀπορρέον,
φύλλα προαποτεθέντα εἰς κοιλὰ χαμαὶ ἐδά-
φους· ἀναιροῦνται τε ξηρανθέντα· ὀπίζουσι δὲ
καὶ τοῦ καυλοῦ, ἀποτέμνοντες· κατὰ τὴν πυρακμὴν,
ὁμοίως δεχόμενοι τὸ ἀπορρέον· δοκιμάζουσι δὲ τῶν ῥιζῶν βα
θείους, αἱ δὲ λευκαὶ καὶ ξηραὶ· τιτανώδεις καὶ ἀβρῶ
τοι· καὶ πυρώδεις τὴν γεῦσιν· καὶ ἀρωματίζουσαι·
καρπὸς δὲ κατὰ θήκας ὡς σμύρνου ὡς νάρθηκος· ὀλί
γον τῶν παραφυάδων, ἀσθενέστερος φύλλου· τοῦ δὲ ὀποῦ
διαφορά, ὁ πικρότερος τὴν γεῦσιν· ἔνδοθεν λευκός·
ἔξωθεν κροκίζων· λεῖος· λιπαρός· εὔθραυστος·

ταχέως ἐπιδιδάμενος· βαρύοσμος· ὅθεν μάλα, φαῦ-
λος· καὶ ὁ σκληρός· ἀπολούσας δὲ ἀμμωνιακῷ καὶ κη-
ρωτῇ· ἐπιμάσσεται δὲ, ὕδατι, διατριβόμενος
τοῖς δακτύλοις· ὁ γὰρ ἄλλος δόλιός ἐστι· δυνάμεις δὲ
αὐτοῦ αἱ δὲ θερμαντική· λεπτυντική· μαλακτική·
ὅθεν ἁρμόζει πρὸς ῥίγη καὶ περιόδους· σπάσμα-
τα· ῥήγματα· πλευρᾶς ἀλγήματα· βῆχας· στρό-
φους· στραγγουρίας· ἄγει τὰ ἔμμηνα σὺν μελικρά-
τῳ ποτιζόμενος· καὶ ἐμμηνιακὰ ἄγει· καὶ ἔμβρυα
φθείρει· καὶ ἐμπνευματώσεις τὰς ἐν ὑστέρᾳ λύει· καὶ
σκληρίαν διαφορεῖ σὺν μέλιτι ἐνθετός· ἐκ δὲ
σύγχρισμα ἰσχιάδος· μίγνυται δὲ κόποις καὶ κεφαλαλ-
γικαῖς δυνάμεσι· πυρὶ ἐρυσθεὶς καὶ ἄνθρακας· ἁρμό-
ζει ποδαγρικοῖς· μετὰ σταφίδος ὁμοίως καταπλασσόμενος·
παραστάτας καὶ τὰ τῶν ὀδόντων ἀλγήματα, ἐντιθέμε-
νος τοῖς βρώμασιν· ὀφθαλμῶν τὰ ἀπὸ νεφῶν ὀξυωπὲς ἔ-
γχρισμα· μίγνυται δὲ πάσῃ ἐμπλάστρῳ· ἐστὶ δὲ πρὸς λυσσο-
δήκτους ἀρίστη· καὶ ἡ ῥίζα ξηρανθεῖσα καὶ προστεθεῖσα, ἄ-
γει ἔμβρυα· πρὸς τὰ αὐχένι παλαιὰ ποιεῖ· καὶ πρὸς
τὰ ἑλκώματα τῶν ὤτων· σὺν κηρωτῇ καταπλασσομένη·
καὶ ὁ καρπὸς δὲ αὐτῆς σὺν ἀψινθίῳ λειωθεὶς, ἐμμηνα-
γωγός· σὺν δὲ ἰσοχολίᾳ δὲ ὁμοίως πρὸς αὐτοὺς πρὸς τὰ
ὀβολὰ ἁρμόζει· καὶ πρὸς τὰς ὑστερικὰς πνίγας, σὺν
οἴνῳ ποτιζόμενος. ~

περὶ ποταμογείτωνος

ποταμογείτων· οἱ δὲ λαμμώνιον· οἱ δὲ ἁλιμόκτονον· οἱ
δὲ ἀπὸ πλευροῦ· οἱ δὲ θύρσιον· τὰ μὲν φύλλα
ἔχει ὅμοια σεύτλῳ· λεπτότερα δὲ καὶ μακρότερα· καὶ
πλείω· καυλίον δὲ λεπτόν· ὀφθαλμοῦ τέμνοντα δὲ ἀπὸ τοῦ
πυρέθρου· ἄνθη μικρά· μήλινα· στύφοντος τῇ γεύσει

σα· διώκεται δὲ ὕδωρ πρὸς λάος σὺν οἴνῳ ποθεὶς ὀξὺ
βάφου πλῆθος, δυσεντερικοὺς καὶ κοιλιακοὺς
ὠφελεῖ· ῥοῦν τε καὶ ἐρυθρὸν γυναικῶν ἵστησι καὶ ἀφιστάναι·
φύεται δὲ ἐν ἀμμώδεσι καὶ ἐνύδροις καὶ ἐζώδεσι τόποις:~

⁘ περὶ πολίου τοῦ ὀρεινοῦ ⁘

Πόλιον τὸ ὀρεινόν· οἱ δὲ πολύθειον· οἱ δὲ φραξαμοῦ-
διον· οἱ δὲ βελζίον· οἱ δὲ λύκον τὸ χλωρόν· κοινῶς ὀρεινῆ
ἀστρογίδα· δοκοῦ, τοῦ μεγάλου ὀρεινοῦ· ὃ καὶ τά-
θριον ἢ τεύχειον καλοῦσι· οὗ καὶ ἡ χρῆσις· θα-
μνίον ἐστὶ λεπτοῦ· λευκοῦ· σπιθαμιαῖον· φύλλων
καὶ κάρπου πλῆρες· ἄκρων κεφάλια ἐπ' ἄκρου, κορυ-
μβοειδῆ σμικρά· ἔχοντα τεῖνα, ὡς πολιὰς τρίχας·
βαρύοσμον· μετὰ ποσῆς ἡδονίας· τὸ δὲ ἕτερον
θαμνωδέστερον· οὐχ οὕτω δὲ εὔτονον ἐν ὀσμῇ· καὶ ἀ-
δρανέστερον καὶ τὴν δύναμιν· διώκεται δὲ αὐτῶν τὸ
ἀπόζεμα πινόμενον, ἀρήγει θηριοδήκτοις· ὑδρω-
πικοῖς· ἰκτεριῶσι· σπληνικοῖς δὲ σὺν ὄξει· ἔστι
δὲ κεφαλαλγὸς καὶ κακοστόμαχον· ταρακτικὸν δὲ καὶ
κοιλίας καὶ ἔμμηνα· ὑποστρωννύμενον δέ, θηρία
διώκει· καὶ κατὰ ἐπιπλασσόμενον τραύματα κολλᾷ:~

ἀρχὴ τοῦ ρ'·

⁘ περὶ ῥάμνου ⁘

Ῥάμνος· οἱ δὲ πυρσαφόνιον· οἱ δὲ λευκάκανθον· ῥω-
μαῖοι, σπίνα ἄλβα· θαμνίον ἐστὶν ὀρθοὺς ἔχων ῥάβ-
δους καὶ ἀκάνθας, ὡς πυρ ξυλάκανθα· φύλλα μι-
κρά, ὑπομήκη· ὑπολίπαρα· στυφά· ἔστι καὶ ἄλλη
λευκότερα φύλλα ἔχουσα μικρότερα καὶ πλατύτε-
ρα· καὶ τὰς ῥάβδους μακροτέρας· τοῦ δὲ κάρπου κοινῶς
λευκοῦ· λεπτοῦ· θυλακώδη· φύονται δὲ περὶ φ-

ραγμοῖς· τὰ φύλλα δι' αὐτῶν λεῖα ταῖς ποιοῦνται καταπλ-
ασσόμενα πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας :~

περὶ ῥόδων

ῥόδα· ῥωμαῖοι, ῥόζα· ψύχει· στύφει· τὰ δὲ ξηρὰ μᾶ-
λλον στύφει· χυλίζεται δὲ τὰ ἁπαλά, ἀποτεμνομέ-
νης τοῦ ὀνυχώδους καλουμένου· ὅ παρ' ἐστὶ τὸ λευκὸν τὸ ἐν
τῷ φύλλῳ· τὸ δὲ λοιπὸν ἐκθλιβὲν ἐν σκιᾷ ἄ-
χρις οὗ συστραφῇ, οὕτω καὶ ἀποτίθεται δὲ τὰς ὀ-
φθαλμικὰς χρείας τοῦτο· ξηραίνεται δὲ τὰ φύ-
λλα ἐν σκιᾷ συνεχῶς συστρεφόμενα, ἵνα μὴ εὐρωτι-
άσηται· τὸ δὲ τῶν ξηρῶν ἀφεψηθέντων ἐν οἴνῳ
τὸ ἀπόζεμα, πρὸς ἀλγήματα κεφαλῆς· ὀφθαλ-
μῶν· ὤτων· οὔλων· δακτυλίου· ἀπευθυσμένου·
μήτρας· ἢ πτερῷ ἀγχριόμενον καὶ προσκλυζόμενον·
αὐτὰ δὲ δίχα πρὸς ἐκθλιβῆναι κοπέντα, καὶ ἐπιπλ-
ασσόμενα, πρὸς ὑποχονδρίων φλεγμονὰς ποιεῖ· καὶ
στομάχου πλάδον· καὶ ἐρυσιπέλατα· ξηρὰ δὲ λεῖα
παρατρίμμασι μηρῶν πρὸς πάσσεται· καὶ ἀντιδότοις
μίγνυται· καίεται δὲ καὶ εἰς καλλιβλέφαρα· τὸ δὲ ἐν
μέσοις τοῖς ῥόδοις ἄνθος εὑρισκόμενον, πρὸς οὔλων
ῥευματισμοὺς ξηρὸν προσπασθὲν ποιεῖ· καὶ αἱ κε-
φαλαὶ δὲ ποθεῖσαι, κοιλίαν ἱστᾶσιν· καὶ αἵματος ἀγω-
γὴν ἐπέχουσιν :~

περὶ ῥοδοδάφνης

ῥοδοδάφνη· οἱ δέ, ποόντος· οἱ δέ, νήριον· οἱ δὲ ῥοδό-
δενδρον· ῥωμαῖοι, ῥοδανδροῦμ· θάμνος γνώριμος·
ἀμυγδαλῆς μακρότερα καὶ τραχύτερα ἔχων φύλλα·
τὸ δέ, ἄνθος, ῥοδοειδές· καρπὸν δὲ φέρει ὡσεὶ κέρατα
κυαστμένον· πλήρη ἐριώδους, ἐν φύσεως· ὅμοια
τοῖς ἀκανθίοις παππώδεσι· ῥίζαν δὲ ἀπόξυν καὶ μακρὰν
ξυλώδη· γευσαμένῳ ἁλμυράν· φύεται δὲ ἐν παρα-

θαλασσίοις τόποις καὶ παρὰ ποταμοῖς· δύναμιν
δὲ ἔχει τὸ ἄνθος καὶ τὰ φύλλα, κλώνων μὲν πολὺ τ
φθαρτικήν· αὐτῶν δὲ σωστικὴν πινόμενα σὺν οἴνῳ·
καὶ πρὸς θηρίων δήγματα, καὶ μᾶλλον πιτυοῦσα τα
ρμιξία· τὰ δὲ ἀσκευάστα τῶν ζώων αἶγας καὶ πρό
βατα ἀπὸ τοῦ τὰ ἀπόζεμα αὐτῶν πιεῖν, ἀποθνήσκει :–

⁘ περὶ ῥάφανος κηπαίας ⁘

ῥάφανος κηπαία· οἱ δὲ, πολύειδος· οἱ δὲ ἰριστίου· ῥωμαῖ
οι, ῥάδιξ νοστράτα· καὶ αὕτη πνευμάτων γεννητικὴ καὶ
θερμαντική· εὔστομος· οὐκ εὐστόμαχος· ἐρευκτική
διάσει καὶ οὐρητική· εὐκοίλιος· ὅθεν αὐτὴν λαμ
βάνειν μᾶλλον συνεργοῦσαν τῇ διαδόσει· προσεσθιο-
μένη γάρ, μετεωρίζει τὴν τροφήν· ἁρμόζει καὶ τοῖς ἐμεῖν
μέλλουσι προεσθιομένη· ἀκριβοῖ δὲ καὶ τὰς αἰσθήσεις·
ἑφθὴ δὲ ποιεῖ λαμβανομένη βήσσουσι· καὶ τοῖς πάχος
γεννῶσι ἐν θώρακι· ὁ δὲ φλοιὸς αὐτῆς μετὰ ὀξυ
μέλιτος λαμβανόμενος ἐμετικώτερος· ἁρμόζει δὲ
ὑδρωπικοῖς καταπλασθεῖσα· ἐνθετὴ δὲ καὶ σπληνικοῖς·
σὺν δὲ μέλιτι, καὶ νομὰς καὶ ὑπώπια ἀναιρεῖ· καὶ ἐχιο
δήκτοις βοηθεῖ· ἀλωπεκίας δασύνει· φακοὺς ἀ
ποσμήχει σὺν ὀρείνῳ ἀλεύρῳ· βοηθεῖ καὶ τοῖς ὑ
πὸ μυκήτων πνιγομένοις· ἐμμήνια ἄγει· καὶ τὸ
σπέρμα αὐτῆς ἐμετικόν· σπληνὸς καθαρτικὸν
πινόμενον μετὰ ὄξους· γαργαρισθὲν εὐτόνως περὶ χθρά
αι· συνάγχαις δὲ βοηθεῖ, σὺν ὀξυμέλιτι θερ
μανθὲν εἰς ἀναγαργάρισμα· καὶ πρὸς κεράστου
δῆγμα, σὺν οἴνῳ πινόμενον βοηθεῖ :–

⁘ περὶ ῥαφάνου ἀγρίας ⁘

ῥάφανος ἀγρία· οἱ δὲ ῥάφανος ὀρεινή· οἱ δὲ ἄπιος·
οἱ δὲ ἰσχιάδα· οἱ δὲ χαμαιβάλανον· ταύτης τὸ μὲν

δύναται μέρος τῆς ῥίζης ληφθέν, ἄνω τε χολὴν καὶ
φλέγματα· τὸ πρὸς τῇ ῥίζῃ καθαίρει· ὅλη δὲ ληφ-
θεῖσα, ἀμφοτέρας τὰς καθάρσεις κινεῖ· ὀπισωδὲ βου-
ληθεὶς κόπτων τὰς ῥίζας· καὶ βαλὼν εἰς κρατῆρα οἴνου
σά τε συντάραττε· καὶ τοῦ ἀπισταμένου ὀποῦ πτε-
ρῷ συνάγων ξήρανον. τούτου τρία ἡμιωβόλια ποθέν-
τα δύο καὶ κάτω καθαίρει. —

Ἀρχὴ τοῦ ς´.

περὶ συμφύτου

Σύμφυτον· οἱ δὲ πύκτην· οἱ δὲ ἀναξερίτης· οἱ δὲ ἐγχλο-
φόρον· οἱ δὲ ἀλβενίου· οἱ δὲ, συναξηλίτης· οἱ δὲ ἀνάλ-
σις· οἱ δὲ ἀνουσγαλίκου· ῥωμαῖοι, κοναφύρβα· καυλὸν
δὲ ἀνίησι δασὺν δίπηχυν ἢ μείζονα· γωνοειδῆ· παχύ·
ὑπόκενον οὐ καὶ μεγάλων διαστημάτων· τὰ φύλλα
δασέα· ὑπόστενα· καὶ ὑπομήκη· ἔμφερῆ πρὸς
τὰ τοῦ βουγλώσσου· ἔχει δὲ καὶ παρὰ τὰς γωνίας, ὁ καυ-
λὸς ἐξοχάς τινας παρατεταμένων φύλλων· πρὸς τὸ
πονάφυ καθάπερ μαράθης· ἄνθη λευκά· ἢ μήλινα·
καὶ καρπὸν περὶ τὸν καυλόν· ὅλος δὲ ὁ καυλὸς καὶ τὰ φύλλα
ἔοικε τῇ ἀγχούσῃ ὑπόλευκον· καὶ ὑπότραχυ κατὰ τὴν
πρὸς ἁφὴν κνησμὸν ἐμποιοῦντα· ῥίζας δὲ ὑπάρχουσιν ἔξω-
θεν μὲν ἀποφαινομένας μελαίνας· ἔνδοθεν δὲ
λευκάς· γλίσχρας καὶ ἠχενώσεις· ποιοῦσι δὲ λεῖαι πινόμεναι
αἱμοπτοϊκοῖς, καὶ ῥήγμασι· καὶ καταπλασσόμεναι πρὸς
κόλλησιν τραυμάτων νεοτρώτων· καὶ τὰ κρέα δὲ σύν-
εψόμεναι, συνάγουσι :—

περὶ σιδηρίτου

Σιδηρίτου φάγου· οἱ δὲ πατρικόν· οἱ δὲ βρόχον· ῥωμαῖοι,
σιδηριτον· θαμνίον ἐστὶ φρυγανῶδες· ἐν πέτραις
καὶ τραχέσι τόποις φυόμενον· σπιθαμιαῖον δὲ ἔχει ὑπὸ

λέα· ἀπυρέτοις μέν, σὺν οἴνῳ· πυρέσσουσι δὲ ἐν
ὕδατι· θερμαίνει δὲ σφόδρα ἐν ποτῷ· λίθους τε τοὺς
ἐν κύστει θρύπτει· καὶ διουρεῖν ἄγαν εὐθέτως δὲ ἐμμό
ζει·~

περὶ σκολοπενδρίου

Σκολοπένδριον· οἱ δὲ ἄσπληνον· οἱ δὲ σπλήνιον· οἱ
δέ, φιλτεροσότης· οἱ δὲ πτέρυγα· οἱ δὲ ἡμιόνιον·
οἱ δὲ ἀτεκνήριον· φύλλα ἔχει σκολοπένδρῳ τῷ θη
ρίῳ ὅμοια· πλείονα ἀπὸ μιᾶς ῥίζης· περιεχό
μενα ἐν πέτραις καὶ τοίχοις τοῖς ἀπὸ τῶν καχλι
κῶν, ἐντετμημένα, ὡς τὰ τοῦ πολυποδίου· καυλοῦ
δὲ οὐ φέρει· δύναμιν δὲ ἔχει τὰ φύλλα ἀποζεσθέντα
σὺν ὄξει, καὶ πινόμενα ἐπὶ ἡμέρας μ΄· σπλῆνα τήκειν·
δεῖ δὲ καὶ καταπλάττειν τὸν σπλῆνα τοῖς φύλλοις λείοις
σὺν οἴνῳ· βοηθεῖ καὶ στραγγουρίᾳ· καὶ λυγμοῖς καὶ
ἰκτέρῳ· καὶ λίθους τοὺς ἐν κύστει θρύπτει· δοκεῖ δὲ
ἀτοκίου εἶναι καθ' αὐτό· καὶ μετὰ ἡμιόνου σπλῆνος
περιαπτόμενον· ἀσπλήνιον δ' ἐκάλεσαν· φασὶ δὲ αὐτὸ ὀ
ρύσσειν δεῖ ἀσεληνίου·~

περὶ σκορπιούρου

Σκορπίουρον· οἱ δὲ ἡλιοτρόπιον· οἱ δὲ ἡλιότροπος·
οἱ δὲ σκορπιόκτονον· ἀπὸ τοῦ περὶ τὸ ἄνθος σχή
ματος, σκορπίουρον καλοῦσιν· ἡλιοτρόπιον δέ,
ἀπὸ τοῦ συμπεριτρέπεσθαι τὰ φύλλα τῇ τοῦ ἡλίου
κινήσει· ἔχει δὲ τὰ φύλλα ὠκίμῳ παραπλήσια·
δασύτερα δὲ καὶ μείζονα καὶ λευκότερα· κλῶνας δὲ ἀ
πὸ τῆς ῥίζης ὅσον τρία ἢ δ΄· καὶ ἐπὶ τούτων μασχάλας
πλείους· ἀπ' ἄκρων δὲ ἄνθος λευκὸν ἢ ὑπόπορ
φυρον· ἐπικεκαμμένον καθάπερ σκορπίου οὐρά·
ῥίζα δὲ λεπτὴ καὶ ἄχρηστος· φύεται ἐν τραχέσι τό
ποις· τούτου ὅσον ∠ α΄ ἀφεψηθεῖσα καὶ διδομένη,
ἄγει φλέγμα καὶ χολὴν κατὰ κοιλίαν· ἁρμόζει δὲ καὶ

σκορπιοπλήκτοις, μετὰ οἴνου πινομένη· καὶ πρὸς δὲ τὸν ἰὸν περιάπτεται· φασὶ δὲ πρὸ μιᾶς ὥρας τῆς συλλήψεως, τοῦ καρποῦ δ΄ κόκκους μετ' οἴνου ποθέντας, τεταρταϊκὰ παύειν· τριταϊκοὺς δὲ γ΄· ἀποπλαττόμενος δὲ ὁ καρπὸς, μυρμηκίας καὶ ἀκροχορδόνας· καὶ θύμους καὶ ἐπινυκτίδας ξηραίνει· τὰ δὲ φύλλα ποδάγραις καὶ στρέμμασι καὶ σειριῶσι παιδίοις ἐπιπλαττόμενα ὠφελίμως· καὶ ἄγει δὲ καὶ τὰ ἔμμηνα καὶ ἔμβρυα προστεθέντα:~

περὶ σιλφίου

Σίλφιον· γεννᾶται ἐν τοῖς κατὰ Συρίαν καὶ Ἀρμενίαν καὶ Μηδίαν τόποις καὶ Λιβύῃ· οὗ ὁ καυλὸς μάσπετον καλεῖται· ἐμφερὴς νάρθηκι· φύλλα δὲ ἔχει σελίνῳ ὅμοια· σπέρμα πλατύ· ῥίζαν θερμαντικήν· διὸ ἐπιπ[illegible] κύστεως κακωτική· ἰᾶται χοιράδας καὶ φύματα, ἀναληφθεῖσα κηρωτῇ· ἢ καὶ σὺν ὑσσωπίνῳ ἐλαίῳ καταπλασθεῖσα· σὺν ἰρίνῃ δὲ κηρωτῇ· ἢ κυπρίνῃ, ἰσχιαδικοῖς ἁρμόζει· τὰς περὶ δακτύλιον ἐξοχὰς αἴρει ἐν σιδίῳ σὺν ὄξει ἀφεψηθεῖσα καὶ καταπλασθεῖσα· θανασίμων ἀντιφάρμακον πινομένη· [illegible] μιγνυμένη καὶ [illegible] βαμβάκη καὶ ἄλλα· συλλέγεται δὲ ὁ ὀπὸς ἀποχαρασσομένης τῆς ῥίζης καὶ τοῦ καυλοῦ· διαφέρει δὲ αὐτοῦ ὁ ὑπέρυθρος καὶ διαυγής· σμυρνίζων καὶ τὴν ὀσμὴν εὔτονος· μὴ πρασίζων· μήτε δριμὺς πρὸς τὴν γεῦσιν· εὐχερῶς τε διαλυόμενος εἰς τὸ λευκὸν χρῶμα· ὁ μέντοι κυρηναϊκὸς κἂν ἀπὸ ὀλίγου τις αὐτοῦ γεύσηται, ἰκμάδα κινεῖ καθ' ὅλον τὸ σῶμα· τήν τε ὀσμὴν ἐστὶ προσηνέστατος· ὥστε τὰ [illegible], τὸ στόμα μικρὸν δὲ πνεῖν ἢ μικρὰ ἀπ' ὀλίγου· ὁ δὲ μηδικὸς καὶ ὁ συριακὸς· τῇ δυνάμει ἀσθενέστεροι

στεροῖς καὶ βρωμώδεσι στομάχοισι τὴν ὀσμήν· δηλοῦ-
ται δὲ πᾶς ὁ ποιὸς πρὸ τοῦ ξηρανθῆναι, ἔστι δὲ
πινοῦ μὴ τετυμμένου, ἢ ἀλεύρου κεκομμένου· ὅπερ
διακρίνειν, τὴν γεῦσιν καὶ τὴν ὀσμήν· καὶ τὴν ὄψιν καὶ διοισ-
ξύσιος δὲ τὸν μὲν καυλοῦ, σιλφίου ἀκαλήφων· τὴν
δὲ ῥίζαν μαλύσαριν· ταῖς δὲ φυλλαμαλάσσεται· πρὸ
κείνου τούτους δὲ ἀσινὸς ὁ ποιός· εἶτα, τὰ φύλλα· εἶτα
ὁ καυλός· ἄστι δὲ φυσώδης καὶ δριμὺς ἄλλως πως καὶ
θεραπεύων· σὺν οἴνῳ καὶ πεπέρει καὶ ὄξει καταχριό-
μενος· ὀξυδερκεῖς τε ποιεῖ τούς· καὶ ἀρχομένας ὑ-
ποχύσεως, διασκεδαστικὸς σὺν μέλιτι ἐγχριόμενος·
πρὸς ὀδονταλγίαν ἐντιθέμενος δὲ τοῖς βρώμασι· καὶ περι-
τιθέμενος σὺν λιβανωτῷ ἐγχρισθεὶς δὲ ὀθονίου· καὶ δια-
κλυζόμενος σὺν ὕδατι πως καὶ σύκοις ἀφεψημένοις σὺν
ὀξυκράτῳ· καὶ ἀπὸ λυσσώντων δηχθεῖσι σὺν ἀλί, ἐπι-
τιθέμενος τοῖς τραύμασι· καὶ ἀπὸ τῶν ἰοβόλων ζώων
πάντων· καὶ τῶν φαρμακωδῶν τοξευμάτων, ἐγχρι-
όμενος καὶ πινόμενος· ἀπὸ σκορπίων πληγέντων ἐλαίῳ
διαθείς, περιαλείφεται καὶ ἀπογαγγραινουμένων προ-
κατακαυθέντων, ξύεται· πρὸς τὰ αὐθεντικὰ μετὰ πη-
γάνου καὶ νίτρου καὶ μέλιτος· ἢ καθ' αὑτόν· ἥλους τοὺς καὶ
τύλους αἴρει προπαριχαραχθέντας πρὸς μαλαχ-
θεὶς κηρωτῇ· ἢ σὺν κώνειον ξηρὸν τόσον τοῖς· θεραπεύει καὶ
λειχῆνας πρὸς φαγεδαίνας σὺν ὄξει· σάρκωμα τὸ δὲ καὶ
πολύποδας, μετὰ ἁλὸς χαλκάνθου· ἢ ἰοῦ διαχριόμενος
ἐπὶ ... ἀποσπᾷ τὰς ἐξοχάς· σὺν
σαρκοφάγοις· ἀρτηρίας καὶ βρόγχους χρονίας τραχύ-
τησι· φωνὴν τὴν ἀφανισθεῖσαν ... , ὕδατι
διαθεὶς καὶ ἀποφθεγχθείς, αὐτίκα ἀποκαθαίρει
κιονίδας ... σὺν μέλιτι διαχριόμενος· σιαγόνι

τὰ δὲ ἀρτηρίας τραχύτητα· μετὰ μελικράτου ὠφέλιμος. ἐν-
χεόμενος ποιεῖ· λαμβανόμενος ἐν σταφίδι· βῆχα
τε ἀρμόζει, ἐν ᾠῷ δὲ ῥοφητῷ διδόμενος. πλευρι-
τικοῖς τε ἐν ῥοφήμασιν. ἰκτερικοῖς καὶ ὑδρωπικοῖς ὠ-
φελίμως δίδοται μετὰ σύκων ξηρῶν. λύει καὶ ῥῖγη,
σὺν πεπέρει καὶ λιβανωτῷ καὶ οἴνῳ ποθείς. τετανικοῖς
τε καὶ ὀπισθοτονικοῖς ὀβολοῦ ὁλκὴ περὶ πλάτους
δίδου καταπίνειν. βδέλλας τὰς προσισχομένας τῇ
κατὰ πόσιν· ἀναγαργαριζόμενος μετ' ὄξους ἀποβάλλει.
καὶ τοῖς γάλακτι θρομβωμένου ἔσωθεν ποιοῦσι. καὶ ἐπι-
ληπτικοῖς μετ' ὀξυμέλιτος ληφθεὶς βοηθεῖ. πο-
θεὶς δὲ σὺν πεπέρει καὶ σμύρνῃ καταμήνια ἄγει. κοι-
λιακοῦ τε ἐν ῥαγῖσι σταφυλῆς λαμβανόμενος ὠφελεῖ.
μετὰ δὲ κονίας ποθείς, ὠφελεῖ τὰ ἀσφυκτικὰ σπάσμα-
τα. ῥήγματα. διαλύεται δὲ εἰς τὰ πόματα, ἀμυγ-
δάλοις πικροῖς. ἢ πηγάνῳ. ἢ ἄρτῳ θερμῷ. ὁ δὲ ὀπὸς
τῶν φύλλων, τὰ αὐτὰ ποιεῖ. παρὰ πολὺ δὲ ἀσθενέστερον.
ἐσθίεται δὲ καὶ μετ' ὀξυμέλιτος ἁρμόζων τοῖς περὶ ἀρτη-
ρίαν. μάλιστα δὲ ἀποκοπάσιν ἤχοις. χρῶνται δὲ αὐ-
τῷ καὶ μετὰ θριδακίνων ἐσθίοντες, ἐν τῷ δὲ ζωμοῦ. λά-
γανα δὲ καὶ ἡ Τυρ... μαγύδαρις. γεννωμένη ἐν Λιβύῃ.
ῥίζα παρόμοια σιλφίῳ. ἧττον δὲ παχεῖα. δριμεῖα καὶ
χαύνη. καὶ ὀπὸν μὴ ἔχουσα. ποιεῖ δὲ τὰ αὐτὰ τῷ σιλφίῳ:-

περὶ στρύχνου

μέλας κηπαῖος Στρύχνος· οἱ δέ, κοπροβότανον. οἱ δὲ ἥμερον. οἱ δὲ
λυκοστάφυλον. Ῥωμαῖοι, κουκουβοχουλάρουμ. οἱ
δὲ βρωμοβότανον. ὁ δὲ ἥμερος ἐστὶ θαμνίσκος ἐστὶ μι-
κρός. μασχάλας ἔχων πολλάς. φύλλα μέλανα.
ὠκίμου μείζονα καὶ πλατύτερα. καρπὸς περιφε-
ρής. χλωρὸς. μέλας τε ἢ κιρρὸς. γίνεται μετὰ τὸ

πυπανθῆναι· ἄβολα ἀφεῖς ἐστὶν ἡ βοτάνη πρὸς τὸ
γελᾶν· δύναμιν δὲ ἔχει ψυκτικήν· ὅθεν τὰ φύλ-
λα καταπλασσόμενα, ἁρμόζει πρὸς ἐρυσιπέλα-
τα καὶ ἕρπητας μετὰ τῆς πολέντης ἀλφίτου· καθ' αὐτὰ
δὲ ἐπιτιθέμενα χλιαρά, αἰγίλωπας θεραπεύει
καὶ κεφαλαλγίας· καὶ στόμαχον καυσούμενον καὶ ὑ-
πὲρ παρηγορεῖ· παρωτίδας δὲ διαφορεῖ σὺν ἀλ-
φίτῳ καταπλασσόμενον· καὶ ὁ χυλὸς δὲ αὐτοῦ μι-
γεὶς πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας σὺν ψιμυ-
θίῳ καὶ λιθαργύρῳ καὶ ῥοδίνῳ· καὶ πρὸς αἰγίλωπ(ας)
σὺν ἄρτῳ ἁρμόζει· καὶ συριῶσι παιδίοις σὺν ῥοδίν(ῳ) μετὰ
νω ἐμβραχόμενος· μίγνυται δὲ καὶ κολλυρίοις αὐ-
τίκα τοῖς ὠοῦ λευκοῦ, τοῖς παρὰ ἐρυθήμασι
μὲν δὲ τοῖς ἀγρυπνοῦσι ἐγχρίσας· εὐφυλακ καὶ ὠταλγίας· ἴσχει δὲ
καὶ ῥοῦν γυναικεῖον σὺν ἐρίῳ προστεθείς· ποιεῖ καὶ
δὲ ἀπὸ ἐξοχάδας ὅλη ἡ πόα λεία ἐπιτιθεμένη φλυσμα-
νοῦσα :—

περὶ σιλλύβου

Σίλλυβον· ἄκανθά ἐστι πλατεῖα· φύλλα ἔχουσα χα-
μαιλέοντι τῷ ὅμοια τῷ λευκῷ· καὶ τῆς ῥίζης ὁ ὀπὸς
ὅσον ὁλκὴ ∠ ποθεὶς σὺν μελικράτῳ ἐμετὸν
κινεῖ :—

περὶ στρουθίου

Στρουθίου· οἱ δὲ κάδρου· οἱ δὲ κάθαρσις· οἱ δὲ,
κάδρου· οἱ δὲ στρουθοκάμηλος· κοινῶς δὲ καλλόσε
ἔθιν· γνώριμος ἐστίν· ᾧ οἱ ἐριοπλύται χρῶνται
πρὸς κάθαρσιν τῶν ἐρίων· οὗ ἡ ῥίζα δριμεῖα· οὐ-
ρητική· βοηθοῦσα ἡπατικοῖς· βηχικοῖς· ὀρθο-
πνοίαις σὺν μέλιτι καὶ ἰκτέρῳ· κοχλιαρίου πλῆ-
θος πινόμενον· κοιλίαν τε ὑπάγει· σὺν δὲ πά-
νακι καὶ καππάρεως ῥίζῃ ληφθέν· λίθου θρυπτικόν·
καὶ ἀφουρητικὸν ποιεῖ· καὶ σπλῆνας ἐνσκιρρουμένους τήκει·

πρὸς τὰ θηλέα, ἔμμηνα ἄγει· καὶ ἔμβρυα φθείρει,
ἐνάρια· σὺν ἀλφίτῳ δὲ καὶ ὄξει καταπλασθεῖσα, αἰ-
πέρας ἄγει καὶ διαφορεῖ φύματα· σὺν ἀλεύρῳ κρι-
θίνῳ καὶ οἴνῳ ἀποτεθεῖσα· μίγνυται καὶ κολλητικοῖς ὀξυ-
δερκικοῖς καὶ μαλάγμασι· κινεῖ δὲ καὶ πταρμούς·
φασὶ δὲ τὰς εἴνας ἀγχόμενον λύκον· μάλιστα δέ,
τὰ σπασματος καθαίρει·~

περὶ σιδηρίτιδος·

Σιδηρῖτις· οἱ δέ, ἡρακλείου· αἰγύπτιοι ξανθοφανα·
πυθαγόρας, οὐράσμος πίου· ῥωμαῖοι, οὐρταμμ-
ουμ· πόα ἐστὶ φύλλα ἔχουσα, ὅμοια πρασίῳ· ἢ
ὠκύμῳ· ἀπιμήκη καὶ στενὰ δὲ πρὸς τὰ τοῦ ἀλελισ-
φάκου· ἢ δρυός· μικρότερα μέντοι καὶ μᾶλλον τραχέα
τραχέα· καυλοὺς δὲ ἀνίησι, τετραγώνους· πη-
χυαίους· ἢ καὶ μείζονας· οὐκ ἡδεῖς τῇ γεύσει· ἀλλ' ὑπο-
στύφοντας· ἐν οἷς ἐκ διαστημάτων, σφόνδυλοι
περιφερεῖς ὥσπερ πρασίου· καὶ σπέρμα μέλαν·
φύεται ἐν ὑποπέτροις χωρίοις· δύναμιν δὲ ἔχει
καταπλασσόμενα τὰ φύλλα, τραυμάτων κολλητι-
κὴν καὶ ἀφλέγμαντα τηρεῖν· τὸ δὲ ἀφέψημα τούτου
ἐν οἴνῳ λευκῷ καὶ ἐλώδει πινόμενον λιθιῶσι
θρυπτικόν· ἡ πόα δὲ ὅλη βρωθεῖσα σὺν ἐλαίῳ καὶ
ἀποτεθεῖσα χλιαρὰ ὑπογαστρίῳ, οὐρα κινεῖ:~

περὶ σφαιρίτιδος

Σφαιρῖτις· οἱ δέ, κασταλίτις· οἱ δὲ ἀλεξίκακος· οἱ
δέ, μῶλυ· ῥωμαῖοι, βενάλις· ταύτην φύλλα
ἔχει, ἀγρώστει ἐμφερῆ· ἀνθεμύλινα· ἢ λευκά· ὅ-
μοια λευκοίοις· γαλακτώδη· ὑπονοσδῆ πρὸς τὰ
τοῦ ἴου· καυλοὺς λεπτούς· λευκούς· σπιθαμιαί-
ους· ἢ καὶ μείζονας· περὶ πλείους τῶν φυλλαρίων-

λιπῶν· ἀπ' ἄκρων δὲ τῶν καυλῶν, ἐν ἄκροις ὥσπερ
κορυδοειδής· ἡ ῥίζα δὲ βολβοειδής· αὕτη σφόδρα
ἀγαθὴ, πρὸς ὑστερῶν ἀναστόμωσιν τετριμμένη
καὶ μετὰ ἰρίνου μύρου πρὸς τὰ θλιμμένα ἐν ποσίν:~

περὶ σκίλλας

Σκίλλα γνώριμος· δύναμιν ἔχει δριμεῖαν πυρώδη·
πολλῆς ἐνούσης δὲ γίνεται ὀπτηθεῖσα· στέατι ἢ πη-
λῷ περιπλάττεται· καὶ δίδοται εἰς κάμινον· ἢ
εἰς ἀνθρακιὰν ἐγκρύπτεται, ἄχρις οὗ ὁ πηλὸς
ἱκανῶς τὸ στέαρ· οὗ περιαιρεθέντος ἐὰν μὴ τύχῃ
καρτεροῦσα, ἕτερον πάλιν στέαρ περιτεθέντες
τὸ αὐτὸ ποιήσωμεν· ἡ γὰρ μὴ οὕτως ὀπτηθεῖσα,
βλαβερὰ μάλιστα πρὸς τὰ ἐντὸς ὄντα σῶμα αὕτη·
ὀπτᾶται δὲ καὶ ἐν χύτρᾳ πεπωμασμένῃ καὶ ἐκ-
θεμένη εἰς κλίβανον· λαμβάνεται δὲ αὐτῆς τὰ
μέσα τὰ λοιπά, τῶν ἔξωθεν περιαιρεθέντων· καὶ
ἕψεται συντμηθεῖσα, ἀποχεομένου τοῦ πρώτου
ὕδατος· ἑτέρου δὲ ἐπιχεομένου, ἄχρις ἂν μὴ
δριμὺ ἢ πικρὸν γένηται τὸ ὕδωρ· καὶ ξηραίνε-
ται δὲ πρότερον ἐν σκιᾷ τμηθεῖσα· καὶ διαληφθεῖσα
λίνῳ, ὥστε μὴ ἅπτεσθαι ἀλλήλων τὰ τμήματα·
τοῖς μὲν οὖν τμητοῖς εἰς οἶνον καὶ ἔλαιον καὶ ὄξος τὸ σ-
κιλλητικὸν λεγόμενον χρώμεθα· πρὸς δὲ ῥαγά-
δας τὰς ἐν ποσὶ, τὸ ἔνδον τῆς ὠμῆς σκίλλης ἑψη-
θὲν, ἢ ἐν ῥητίνῃ τηχθὲν, ἐπιτίθεται· ἐχιοδήκ-
τοις τὸ κατάπλασμα ἀφεψηθὲν ἐν ὄξει· τῆς δὲ ὀπτῆς
πρὸς ἓν μέρος τῆς σκίλλης προσεμπλέκοντες ἁ-
λῶν ὀκτὼ μέρη, δίδομεν κοχλιάριον ἓν
ἢ δύο· ἔστι τοίνυν πρὸς μάλαξιν κοιλίας, εἰς τὰ
ἀποστήματα· καὶ ἀρρωστήματα καὶ δυνάμεις· καὶ ἀφ' ὧν

οὔροις συγκινεῖσθαι θέλομεν· καὶ ἐπὶ τῶν στροφικῶν
καὶ στομαχικῶν, οἷς ἐπιπολάζει τὰ σιτία· καὶ ἐπὶ ἰ-
κτέρου· ῥοφουμένου· βηχὸς τῶν χρονίων· ἀσθμα-
τικῶν· ἀναφορικῶν· αὐτάρκης δὲ ἡ ἄχρι τριωβόλου
σὺν μέλιτι ἐκθλιβεῖσα· συγκαθεψηθεῖσα δὲ τῷ
μέλιτι καὶ συμβιβρωσκομένη πρὸς ταῦτα μάλιστα
πάντα συνεργάζεται· ἄγει δὲ γλοιώδη κατὰ κοι-
λίαν· καὶ ἀφεψηθεῖσα δὲ, πρὸς ταὐτὰ ποιεῖ, ὁμοίως
λαμβανομένη· φυλάττεσθαι δὲ, αὐτῆς τὴν δό-
σιν· ἀφθῶν ἑλκώσεσιν ἀσινέστατος· ποιεῖ δὲ καὶ πρὸς
ἀκροχορδόνας· καὶ πρὸς χιμέθλας ἀχριαθεῖσα ὀπ-
τή· τὸ δὲ σπέρμα βρωθὲν, μαλάττει κοιλίαν· ἔστι δὲ
καὶ ἀλεξιφάρμακον· μάλιστα καὶ νόσοις, ὅλη κρεμα-
μένη πρὸ τῶν θυρῶν:~

Περὶ σικύος ἀγρίας

Σίκυς ἄγριος· οἱ δὲ, ἐλατήριον· οἱ δὲ ἄγρινον· οἱ δὲ,
βάλλις· οἱ δὲ σύγκριτις· οἱ δὲ βουβάλιον· Ῥωμαῖοι,
κουκουμέρτουμ· τοῦ κηπευτοῦ μόνον διαφέρει τοῦ ἡ-
μέρου ἐλάσσονι πολλῷ· ἄχρι τὰ φύλλα καὶ τὰ κλήμα-
τα τῷ ἡμέρῳ ὁμοία ἔχουσιν· ῥίζαν δὲ λευκὴν καὶ
μεγάλην· φύεται ἐν οἰκοπέδοις καὶ ἀμπελώδεσι
τόποις· καὶ ἀμμώδεσι καὶ φραγμοῖς· ὅλος δὲ ὁ θά-
μνος πικρός· ἁρμόζει δὲ ὁ τῶν φύλλων χυλὸς ἐνστα-
ζόμενος ὠταλγίαις· ἡ δὲ ῥίζα καταπλασθεῖσα,
μετὰ ἀλφίτου, πᾶν οἴδημα παλαιὸν διαφορεῖ·
μετὰ δὲ ῥητίνης τερεβινθίνης ἐπιτιθεῖσα, φύ-
ματα ῥήσσει· μετὰ ὄξους δὲ ἑψηθεῖσα καὶ καταπλα-
σθεῖσα, ποδάγρας διαφορεῖ· καὶ ἰσχιαδικῶν ἐστὶν
ἔγκλυσμα καὶ ὀδονταλγίας, διάκλυσμα τὸ ἀφέψημα·
ξηρὰ δὲ λεία, ἀλφούς· λέπρας· λειχῆνας, σμήχει·

καὶ οὐλὰς μελαίνας. Καὶ σπίλους τοὺς ἐν προσώπῳ
ἀποκαθαίρει. καὶ ὁ χυλὸς δὲ τῆς ῥίζης πλῆθος
τριωβολίων τὸ ἐλάχιστον. καὶ ὁ φλοιὸς δὲ αὐτοῦ ὅ-
σον τέταρτον ὀξυβάφου, καθαίρει φλέγμα καὶ
χολήν. μάλιστα καὶ ἐπὶ ὑδρωπικῶν. δίχα τοῦ τὸν
στόμαχον ἀδικεῖν, ποιεῖ τὴν κάθαρσιν. δεῖ δὲ τῆς ῥί-
ζης λαμβάνοντα ἡμιλίτριον μετὰ δυοῖν ξεστῶν
οἴνου. μάλιστα λιβανωτοῦ λυκαίνειν καὶ διδόναι ἐκ
τούτου, κυάθους τρεῖς νήστεσι παρ' ἡμέρας τρεῖς. ἐκ-
ὡς δὲ ἱκανῶς ὅσῳ τινος περισταλῇ. Τὸ δὲ καλούμενον
ἐλατήριον ἐκ τοῦ καρποῦ τῶν σικύων σκευάζεται
τὸν τρόπον τοῦτον. λαβὼν ἅμα τὸ ἀκαθαρ τοὺς
ἀποπηδῶντας σικύους ἐκ κλάδων, ἀποτίθεσο μιᾶς
νύκτα. τῇ δὲ ὑστεραίᾳ ἐπὶ κρατῆρος κοσκίνου πυ-
κνοῦ ἐπιθείς. καὶ μαχαίριον ὕπτιον ἁρμόσας, τὴν
ἀκμὴν ἔχων ἄνω. λαβὼν ἀμφοτέραις ταῖς χερσί,
κατὰ ἕνα τῶν σικύων διαίρει. καὶ ἔνθλιβε τὸ ὑγρὸν
εἰς τὸν ὑποκείμενον κρατῆρα. ἐνθλίβων τὸ ἐν
αὐτοῖς σαρκῶδες, ὅπως καὶ τὸ κόσκινον προσπί-
πτει. τὰ δὲ ἐντεθλιμμένα τῶν σικύων, εἰς τὴν πα-
ρακειμένην λεκάνην βάλλε. σωρεύσας δὲ ἐπὶ τοῦ
κοσκίνου τὰ κατατετμημένα. καὶ ὕδατι γλυκεῖ
περιχέας καὶ ἀποπιέσας ταῦτα μὲν ῥῖπται. καὶ ταρά-
ξας δὲ τὸ ἐν τῷ κρατῆρι ὑγρόν. —

περὶ σαμψύχου

Σάμψυχον. οἱ δὲ τρίφυλλον. οἱ δὲ ἀμάρακον.
οἱ δὲ κονίκιον. οἱ δὲ ἄκαπνον. ἁρμόζει δὲ τὸ ἀ-
φέψημα αὐτῆς πινόμενον, ἀρχομένων
ὑδρωπικῶν καὶ δυσουρούντων. καὶ στροφουμένων.
ξηρὰ δὲ τὰ φύλλα ἐπιπλασθέντα σὺν μέλιτι, ἀορ

ὑπόπυα· καὶ ἔμμηνα ἄγει ἐν προσθέτῳ· πρὸς
δὲ σκορπιοδήκτους μετὰ ἁλῶν καὶ ὄξους καταπλά-
σσεται· καὶ πρὸς στρέμματα, μετὰ κηρωτῆς ἀνα-
ληφθεῖσα ἐπιτίθεται· καὶ πρὸς οἰδήματα δέ, καὶ
ὀφθαλμῶν φλεγμονάς, καταπλάττεται· μετὰ
πάλης ἀλφίτου· μίγνυται καὶ ἀκόποις καὶ μαλάγμα-
σι διὰ τὸ θερμαντικόν:~

περὶ σεύτλου μέλανος

Σεῦτλον μέλαν· ἄγριον· ῥωμαῖοι, βῆτα σιλβάτικα
μ(έλαινα)· σεῦτλον· οὗ τὸ μὲν μέλαν, σταλτικώτερον κοιλίας
σὺν φακῇ ἑψηθὲν ἐσθιόμενον· καὶ μᾶλλον ἡ ῥίζα·
τὸ δὲ λευκόν, εὐκοίλιον· ἀμφότερα δὲ κακόχυλα,
διὰ τὸ ἐν αὐτοῖς νιτρῶδες· ὅθεν ὁ χυλὸς αὐτῶν, κα-
θαίρει κεφαλῆς ῥεῦμα, ἐγχυτούμενος μετὰ μέλιτος·
καὶ ὠταλγίας ὠφελεῖ· τὸ δὲ τῶν ῥιζῶν καὶ τῶν φύ-
λλων ἀφέψημα, πιτύρων καὶ κονίδων σμηκτι-
κόν· καὶ χιμέθλης πραϋντικὸν καταντλούμενον·
ὁμοίως δὲ τοῖς φύλλοις καταπλάττεται ἀλφούς, προ-
νιτρωθέντας· καὶ ἀλωπεκίας καταχριόμενα·
καὶ τὰ νεμόμενα ἕλκη· ἀφθώδη δὲ ἐξανθήματα καὶ
πυρίκαυτα καὶ ἐρυσιπέλατα ἰᾶται:-

περὶ σισυμβρίου

Σισύμβριον· οἱ δὲ ἀφροδίτης στέφανον· οἱ δὲ ἕρπυ-
λλον μεγάλον· οἱ δὲ ὑδροσαμίνην· οἱ δὲ καὶ τοῦτο σί-
ον καλοῦσι· ῥωμαῖοι, οὐστυραλίς· ἔνυδρος ἐστὶν
ἡ πόα καὶ τὰ αὐτὰ τῷ σίῳ· ὑδροσαμίνην δὲ ἔνιοι λέ-
γουσι, διὰ τὸ ἐοικέναι καρδάμῳ τῇ γεύσει· φύ-
λλον δὲ ἔχει περιφερές· αὐξόμενον δέ, σχίζεται ὡς
τὸ τοῦ εὐζώμου· ἔχει φύλλα ὅμοια μελισσοβοτάνῳ·
ἔστι δὲ θερμαντικόν· οὐρητικόν· βιβρώσκεται

δὲ ὠμοῦ· ἀποκαθαίρει δὲ καὶ φακοὺς καὶ ἀφήλιν
καταπλασθὲν δὲ ὁ λῆνος τῆς νυκτός· ἕωθεν δὲ ἀφαιρεῖ-
ται:~

περὶ στάχυος

Στάχυς· οἱ δὲ στάχυϊτης· οἱ δὲ τριπόλιον· ῥωμαῖοι
τριφθριουμ· πόα ἐστὶν ἐμφερὴς πρασίῳ ὑπο-
μηκεστέρου· φυλλάρια ἔχουσα ἐκ διαστημάτων
ὑποστρόγγυλα· δασέα· σκληρά· εὐώδη· ὑπό-
λευκα· λεπτά· ῥαβδία πλείονα ἀπὸ τῆς αὐτῆς
ῥίζης πρὸς τὰ τοῦ πρασίου· φύεται ἐν ἀρούραις
καὶ τραχέσι χωρίοις· δύναμιν δὲ ἔχει θερμαντι-
κὴν καὶ δριμεῖαν· ὅθεν τὸ ἀπόζεμα τῶν φύλλων,
ἔμμηνα καὶ δεύτερα ἄγει πινόμενον:~

περὶ σίου

Σίον τὸ ἐν ὕδασιν· οἱ δὲ ἀνάγαλλις ἔνυδρος· οἱ δὲ [illegible]
ἄρωματική· ῥωμαῖοι λαουβίρδη· φύεται ἐν
τοῖς ὕδασι· θαμνίον ὀρθόν· φύλλα πλατέα σελι-
νῷ ἐοικότα· μικρότερα δὲ καὶ ἀρωματίζοντα· ἅπερ
ἐσθιόμενα ἑφθά τε καὶ ὠμά, λίθους θρύπτει· καὶ
ἐκκρίνει· οὐρητικὰ καὶ τὰ ἔμμηνα ἄγει· δυσεν-
τερικοῖς τε χρήσιμα βρωθέντα· Κρατεύας δὲ
ἱστορεῖ περὶ αὐτοῦ, πόα θαμνοειδής· ὀλίγα φύ-
λλα ἔχουσα· περιφερῆ· μείζονα ἡδυόσμου·
μέλανα· λίαν λιπαρά· ἐγγίζοντα εὐζώμῳ:~

περὶ σελίνου

Σέλινον κηπαῖον· οἱ δὲ μελιανόφυλλον· ῥωμαῖοι,
ἄπιουμ· ἁρμόζει δὲ ἡ πόα· πρὸς ὅσα καὶ τὸ κόριον·
καὶ πρὸς ὀφθαλμῶν φλεγμονὰς ἢ μετὰ ἀλφίτου·
ἢ ἄρτου καταπλασσόμενον· καύσονας στομάχου παρη-
γορεῖ· μαστούς τε χονδριωθέντας λύει· καὶ ἔτι οὐ-
ρητικὸν ὠμόν τε καὶ ἑφθὸν βρωθέν· καὶ τὸ ἀφέψημα αὐτ

τά· καὶ τῶν ῥιζῶν πινόμενον· αὐτῆς πάλαι τε θανασί-
μοις καὶ φαρμάκοις· καὶ ἐμέτους κινεῖ· κοιλίαν ἀπά-
γει· τὸ δὲ σπέρμα ἐστὶν οὐρητικώτερον· βοηθεῖ καὶ
θηριοδήκτοις καὶ τοῖς λιθάργυρον πεπωκόσι, πνευ-
μάτων ἐστὶ διαλυτικόν· μίγνυται δὲ καὶ ἀνωδύνοις καὶ
θηριακαῖς καὶ βηχικαῖς αὐτὸ δὲ τοῖς χρησίμως·
τὸ δὲ φύλλον αὐτοῦ τοῖς καυσουμένοις τὴν γλῶσσαν
καὶ τὸ στόμα ἐν τῇ ἐπιτάσει καυσώσεως τοῦ πυρετοῦ,
ἐπαφόμενον παρηγορεῖ:-

περὶ σελίνου ἀγρίου

Σέλινον ἄγριον· οἱ δὲ βατράχιον· οἱ δὲ γαλακτοποιός·
οἱ δὲ ἀμάθυστον· οἱ δὲ μεθύουσα· οἱ δὲ σαρδώνιον·
σέλινον ἄγριον ἄτερον· οἱ δὲ φρεώτιον· οἱ δὲ ἀκινόσταθον·
οἱ δὲ βατράχιον· ῥωμαῖοι, ἄπιου φλαοῦ· τούτου ἀ-
στὶν πλείονα εἴδη· δυνάμεις τε δριμεῖα καὶ σφόδρα ἑλκωτικὴ·
ἀλλ᾽ ἐστὶ τὸ μὲν αὐτῶν· κορίῳ φύλλα ὅμοια· πλατύτερα
δὲ καὶ ὑπόλευκα· λιπαρὰ ἄνθος μήλινον· ἐνίοτε
δὲ πορφυροῦν· καυλοὺς δὲ οὐ παχύν· ῥίζαν λευκὴν πικρὰν
ἔχουσα ἀποφυάδας, ὡς ἐλλεβόρου· φύεται δὲ πα-
ρὰ τὰ ἔνυγρα· ἄλλο δέ ἐστι καὶ ἄτερον χνοωδέστερον· καὶ
μακροκαυλότερον· ἐντομὰς ἔχον πλείους τῶν φύ-
λλων· δριμύτατον· πλεῖστον ἐν σαρδώνῃ γενόμενον·
ὃ δὴ καὶ σέλινον καλοῦσιν ἄγριον· καὶ τρίτον σφόδρα μι-
κρὸν· καὶ δυσόσμον· ἄνθος χρυσῷ ὅμοιον· καὶ τέταρτον
σφόδρα ~~μικρὸν~~· ἐοικὼς τούτῳ· ἄνθει γαλακτίνῳ· δύ-
ναμις δὲ ἔχει τὰ φύλλα καὶ οἱ καυλοὶ πάντων ὁμοίαν,
ἁπαλοὶ καταπλαττόμενοι· ἑλκωτικὴ καὶ ἐσχαρω-
τικὴ μετὰ πόνου· ὅθεν ὄνυχας λεπροὺς καὶ ψώρας
ἀφίστησι· καὶ τὰ στίγματα ἐξαίρει· καὶ μυρμηκίας καὶ
ἀκροχορδόνας καὶ ἀλωπεκίας πρὸς ὀλίγον καταπλα-

ἀνόμενα· ἀνεψόμενα δέ, καὶ τοῦ λήμματα χαμαιθάλων
ὡς χαιδρού· ἡ δὲ ῥίζα ἑψομένη καὶ νᾶ, ξηρὰ λεῖα
πρὸς φερομένην· καὶ ὀδονταλγίας κουφίζει προσαπ
τομένη· θεραπεύει μὲν τοιαύτους :~

※ περὶ σκολύμου ※

Σκόλυμος· οἱ δὲ πυράκανθα· οἱ δὲ φέρουσα· Ῥωμαῖοι
στρουβούλου· φύλλα ἔχει χαμαιλέοντος· καὶ τῆς
λευκῆς ἀκάνθης λεγομένης ἐμφερῆ· μελάντερα
δὲ καὶ παχύτερα· καυλὸν δὲ ὑψηλὸν μακρόν· περίπλεων
φύλλων· κεφαλὴν ἀκανθώδη· ῥίζα δὲ ὑπο
λευκος ὑπάρχει ὡς σπάδικος· παχεῖα καὶ ἐσθίεται μάλαχ
να· ἡ δὲ δύναμις, ποιεῖ καὶ πρὸς τοὺς ἔχοντας τὰς μασχάλας
καὶ τὸ λοιπὸν σῶμα δυσώδες καταπλασσομένη καὶ ἀ
φεψηθεῖσα ἐν οἴνῳ καὶ πινομένη, δὲ καὶ οὖρα πολλά
καὶ δυσώδη· ἡ δὲ ἀπὸ δὲ τοῦ φυτοῦ σὺν ταῖς λαχαναίας
ἑφθὴ ὡς παρ ἀσπάραγος :~

※ περὶ σινήπεως ※

Σίνηπι κηπαῖον· οἱ δὲ νᾶπυ· Ῥωμαῖοι σίναπι· ἐκ
λέγου, τὸ μὴ κατὰ ξηρὸν καὶ κατὰ πυρόν· λεπτόν ὁ
δὲ σπαθεὶς χλωρὸν καὶ οἷον ἔγχυλον πρὸς φ ατονγάρ καὶ
ἀκμαῖον τὸ τοιοῦτον· δύναται δὲ θερμαίνειν· λεπ
τύνειν· ἐπισπᾶσθαι· ἀποφλεγματίζειν διαμασηθείς·
μιγεὶς δὲ ὁ χυλὸς αὐτῶν μετὰ μέλιτος, πρὸς αὐτὸ ἀ
σας καὶ τὰς χρονίους τραχύτητας τῆς ἀρτηρίας καὶ
τυλώδεις, συναγαργαρίζεται μετὰ μόζει· προσαχθεὶς δὲ
τοῖς μυκτῆρσι λεῖον, πταρμοὺς καὶ νᾶ· καὶ ἐπιληπτικοὺς τινί
γομένους, διεγείρει· καὶ ἐπὶ πλῆθος ὑστερικῶν καταπλασθείς·
πρόσωπον δὲ ἐκδέρει· καὶ ὑπὸ ποδάγρας, σὺν μέλι
τι καὶ σῦκα ἐγκαρώσει· σὺν ὄξει δὲ πρὸς λέπρας καὶ
λειχῆνας ἀγρίους καταχρίεται· πίνεται καὶ πρὸς πυ

ῥιόδους· ξηροῦ δὲ ὡς ἄλφιτον καταπλασσόμενον·
ἐπισπαστικόν· καὶ πλαστοῖς καὶ ψωρικοῖς μίγνυται δέ
σιωπιόλως· διὸ σηκόσεις τὰ ἤχους λεῖον ἐπιτιθέ-
μενον τῇ ἀκοῇ μετὰ σύκου ὠφελεῖ· ὁ δὲ χυλὸς αὐ-
τοῦ σὺν μέλιτι ἁρμόζει, πρὸς τὰς ἀμβλυωπίας·
ποιεῖ καὶ πρὸς τραχέα βλέφαρα συγχριόμενος· χυλί-
ζεται δὲ ἔτι χλωροῦ τὸ σπέρμα· καὶ τὸ ἀποληφθέν,
ξηραίνεται ἐν ἡλίῳ.

περὶ σινηπίου ἀγρίου

Σινήπιον ἄγριον· οἱ δὲ σκορδιον μέγα· οἱ δὲ ἄσπριον· Ῥω-
μαῖοι, σιναπιρουστικα· φύεται ἐν ὀρεινοῖς τόποις
καὶ ἀλώδεσι· φύλλα ἔχει ὅμοια τῇ χαμαίδρυϊ· ἐρμαγά-
θημένα τι καὶ ὑποστρόγγυλα· γωνίας ἔχοντα καὶ οὐχ ὅ-
λως ἐν τῇ τμήσει τὴν περιφέρειαν· ποσῶς ἐν τῷ ὀσμῇ
σκορδίζοντα· στυπτικὰ δὲ καὶ ἐν πικρὰ κατὰ τὴν γεῦσιν·
καυλίον σπιθαμιαῖον ἢ καὶ μείζον· ἀφρὸν δὲ ἄνθος πορ-
φυροῦν· ἢ λευκόν· ἢ ὑπέρυθρον· ῥίζαν λευκὴν·
ξυλώδη· δύναμιν δὲ ἔχει ἡ πόα θερμαντικήν·
διουρητικήν· ποτιζομένη χλωρὰ λεία· καὶ ξη-
ρὰ δὲ ἑψομένη σὺν οἴνῳ· πρὸς τὰς δηγμοὺς στομάχου
καὶ δυσουρίαν δυοῖν ∠ ὁλκῆς ὑδρομέλιτι καθαί-
ρει· καὶ πάχος πυώδους ἀνθώρακος· ποιεῖ καὶ πρὸς
παλαιὰν βῆχα· καὶ ῥήγματα· καὶ σπάσματα· καὶ
καρδιαλγίαν καὶ μάλιστα καὶ ῥῆσιν ξηρὰ ἐκλεικτῷ μι-
γεῖσα· καὶ ὑποχονδρίων χρονίως φλεγμαινόντων
δὲ καὶ ληφθεῖσα καὶ ἠρωτικῷ, παρηγορεῖ· ποιεῖ δὲ πρὸς πο-
δάγραν μετὰ τοῦ ξηροῦ δριμέως ἐπιχριομένη ἢ μεθ' ὕ-
δατος καταπλασσομένη· πρὸς τὰ θηρία δὲ ἐμμένων
κινεῖ· τραύματα κολλᾷ· ἐν κηπολασαια δὲ καθαί-
ρει καὶ ἀπουλοῖ σὺν μέλιτι· ξηρὰ δὲ ὑπὲρ σαρκὸς

στάλα· πίνεται δὲ τὸ ἐξ αὐτῆς χύλισμα, πρὸς τὰ προει-
ρημένα πάθη· ἐναργέστερον δὲ ἐστὶν τὸ λύδιον καὶ τὸ
κρητικόν :— ⁘ περὶ σταφυλίνου κηπαίου ⁘

ταφυλῖνος κηπαῖος· οἱ δὲ δαῦκος· οἱ δὲ κασσούρ· ῥω-
μαῖοι, φαστινάκουμ· ἐσθιόμενός τε· ἁρμόζει δὲ, πρὸς
ἃ καὶ ὁ ἄγριος· ὑποδεέστερον δὲ ἐναργῶν :—

⁘ περὶ σταφυλίνου ἀγρίου ⁘

Σταφυλῖνος ἄγριος· οἱ δὲ, κέρας· οἱ δὲ κέρας κόμμιων κα-
λοῦσιν· ῥωμαῖοι, καρωτάν· οἱ δὲ φαστινακαγρούστικα·
φύλλον ἔχει ὅμοιον γιγγιδίῳ· πλατύτερον δὲ καὶ ὑ-
πόπικρον· καυλὸν δὲ φέρει, ὄρθιον τραχύν· σκιά-
διον ἔχων, ἀνήθῳ παραπλήσιον· ἀφ᾽ οὗ ἄνθη λευκά·
ἐν μέσῳ δὲ πορφυροειδῆ καὶ οἷον ἐγκροκίζοντα· ῥίζα δὲ
δακτύλου τὸ πάχος ὅσον σπιθαμῆς· εὐώδης ἐσθιομένη
ἑφθή· τούτου ὁ καρπὸς, ἔμμηνα ποθεὶς κινεῖ· ἁρμόζει
καὶ δυσουροῦσι· καὶ ὑδρωπικοῖς· πλευριτικοῖς ἐν ποτίμα-
τι· καὶ πρὸς θηρίων δὲ δήγματα· τοὺς δὲ προλαβόν-
τας φασὶ μὴ ἀδικεῖσθαι ὑπὸ θηρίων· συνεργεῖ δὲ σύλ-
ληψιν οὐρητικὸν ὂν τα· συνουσίαν παρορμᾷ· καὶ ἔμ-
βρυα δὲ ἐκβάλλει προστεθεῖσα· τὰ δὲ φύλλα λεα-
ματα μέλιτος ἐπιτεθέντα, τὰ φαγεδαινικὰ ἕλκη
ἀνακαθαίρει :— ⁘ περὶ σφονδυλίου ⁘

Σφονδύλιον· οἱ δὲ, ἀράγγιον· οἱ δὲ φαλάγγιον· οἱ δὲ ἀστερίου·
οἱ δὲ ἥσπερις· οἱ δὲ σφονδυλίς· οἱ δὲ οἰνάνθην· οἱ δὲ
χοιρόσπανον· ῥωμαῖοι, ἀρβδρουπινάλις· τὰ μὲν φύλ-
λα ἔχει κατὰ τι ποσὸν πρὸς τὰ τοῦ ὀποπάνακος πλατα-
νοειδῆ· καυλὸν δὲ πηχυαῖον καὶ μείζονα· μαράθρῳ
ἐοικότα, σκιάδια ἐν οἷς τὸ σπέρμα ἐπ᾽ ἄκρῳ ὅμοιον
σέσελι· διπλοῦν· πλατύτερον μέντοι, καὶ ἀχυρω-
δέστερον· ἄνθη λευκά· ἢ ὠχρά· ῥίζαν λευκὴν ὡρα-

φλόμῳ ἐμφερῆ· φύεται δὲ ἐν ἀλώδεσι τόποις καὶ καθύγροις χωρίοις· ὁ δὲ καρπὸς αὐτῆς ποθεὶς ἐκκρίνει κατὰ κοιλίαν φλεγματώδη· ἰᾶται δὲ πινόμενος ἰκτερικούς· καὶ ἡπατικούς· σὺν στυρακίῳ πνίγα· καὶ ὀρθοπνοϊκούς· ἐπιλημπτικούς· ὑποθυμιώμενος δὲ, διανακαλεῖται τοὺς καταφερομένους· σὺν ἐλαίῳ δὲ ἐμβρεχόμενος τὴν κεφαλήν, ἁρμόζει φρενιτικοῖς· ληθαργικοῖς· κεφαλαλγίαις· ἐπέχει δὲ καὶ ἕρπητας, σὺν πηγάνῳ καταπλασθείς· δίδοται δὲ καὶ ἡ ῥίζα ἰκταρώδεσι· καὶ ἡπατικοῖς· περιξυσθεῖσα δὲ καὶ ἐνδεθεῖσα περὶ τύλους τοὺς ἐν ταῖς σύριγξιν, τούτους μὲν αἴρει· τὸ δὲ γράμμα ἀφαιρεῖται· τοῦ δὲ ἄνθους χυλοῦ πρὸς ἡλκωμένα ὦτα καὶ πυορροοῦντα ἁρμόζει· ἀποτίθεται δὲ σκιαζόμενον, ὡς τὰ λοιπὰ παραχυλίσματα:~

περὶ σκοροδοπράσου

Σκοροδόπρασον· φύεται ὡς πράσον μέγα· μετέχον δὲ τῆς τοῦ σκορόδου καὶ πράσου ποιότητος· ὅθεν καὶ τὴν δύναμιν ἀμφοῖν ἔχει μικτήν· ποιοῦν, ὅσα καὶ τὸ σκόροδον καὶ τὸ πράσον· ἀμαυρῶς μέντοι· λαχανεύεται δὲ ὡς τὸ πράσον εἰς βρῶσιν· ἑψώμενον καὶ ἀπογλυκαινόμενον:~

περὶ σέρεως ἀγρίας

Σέρις ἀγρία· οἱ δέ, κιχώριον· οἱ δὲ λαπίδιον· οἱ δὲ ἀγριοκάρδαμον· οἱ δὲ πικρὶς ἀγρία· Ῥωμαῖοι κὶρβητα ἄγρεστε:~

περὶ σέρεως ἡμέρου

Σέρις ἥμερος· τὰ αὐτὰ ὀνόματα ἔχει καὶ τοῦτο· αὕτη ἡ μὲν ἀγρία πικρίς· ἡ δέ, καὶ κιχώριον καλουμένη· ἡ δὲ διττὴ ἐστί, θριδακώδης τε καὶ πλατύφυλλος· ἡ δέ, στενόφυλλος καὶ ὑπόπικρος· πᾶσαι δὲ στυπτικαὶ καὶ εὐστόμαχοι· ἱστᾶσι δὲ καὶ κοιλίαν ἀφεψηθεῖσαι μετὰ ὄξους λαμβανόμεναι· καὶ μάλιστα αἱ ἀγρίαι· βρωθεῖσαι καρδιογμὸν θεραπεύου-

στόμαχον· καὶ παρηγοροῦσι μάλιστα καυσούμενον·
καταπλασσόμενα σὺν ἀλφίτῳ· καθ' ἑαυτὰ δὲ καρ
διακοῖς εἰσὶ χρήσιμοι· καὶ ποδάγρας δὲ καὶ ὀφθαλμοὺς
φλεγμονὰς βοηθοῦσιν· ἡ δὲ πόα καὶ ἡ ῥίζα καταπλα
σθεῖσα, σκορπιοπλήκτοις ἀρήγει· καὶ ἐρυσιπέλατα, σὺν
ἀλφίτῳ ἰᾶται· σὺν ψιμυθίῳ δὲ καὶ ὄξει ὁ χυλὸς
αὐτῶν, ἐπίχρισος τῶν ψύξεως δεομένων:~

περὶ σκορπιοειδοῦς τοῦ μικροῦ

Σκορπιοειδὲς τὸ μικρόν· βοτάνιόν ἐστι φύλλα ἔχον ὀλί
γα· καὶ τὰ σπέρματα, οὐρὰ σκορπίου ἐμφερῆ·
βοηθεῖ δὲ καταπλασσόμενα, σκορπιοπλήκτοις
ἄκρως:~ περὶ σόγχου τραχέος

Σόγχος τραχύς· Σόγχος τρυφερός· οἱ δὲ καὶ κιχώρι
ον θῆλυ· Ῥωμαῖοι, κικέρβιτα μόλλις(?)· τούτου δὲ δισ
σή· τὸ μέν ἐστιν ἀγριώτερον ὃ τινες πολλοὶ συνήθως
σκαμπάβλιον λέγουσι· καὶ ἀκανθωδέστερον· τὸ δὲ
τρυφερώτερον καὶ ἐδώδιμον· τὸ λεγόμενον ζωχίν· καυ
λὸς γωνοειδὴς ὑπόκενος καὶ ὑπέρυθρος· τούτου ἡ
ῥίζα ἀρίστω κονικίνω(?) προσεοικυῖα· καὶ εὐκρυμάλης(?)
ἄνωθεν τοῦ δὲ ἐξ ἰουμηροῦ(?) τῆς διοτεμούσης, ἐνθ(?)
τέξεται· φύλλα δὲ ἔχει ἐν διαστήμασι τῶν· ἐσχισμένα
τὴν περιφέρειαν· δύναμις δὲ αὐτῶν ἐστί, ψυκτικὴ καὶ
μετρίως ὑποστύφουσα· ὅθεν στόμαχον καυσούμενον·
καὶ φλεγμονὰς ἀμφω καταπλασσόμενοι ἁρμόζουσι·
ὁ δὲ χυλὸς καταρροφούμενος, δηγμοὺς στομάχου πραΰ
νει· καὶ γάλα κατασπᾷ· προστεθεὶς δὲ ἐν ἐρίοις τοῖς δακ
τυλίου καὶ μήτρας· φλεγμονὰς βοηθεῖ· ἡ δὲ πόα καὶ
ἡ ῥίζα καταπλασθεῖσα, σκορπιοδήκτοις ἀρήγει:~

περὶ σκορπιούρου

Σκορπίουρον ἕτερον· οἱ δὲ ἡλιοτρόπιον τὸ μικρόν· φύ

φύματα ἐξελκωματώδη καὶ παραλίμνας· ἔχει
φύλλα παραπλήσια τῷ προειρημένῳ· στρογγυλώ
τερα δέ· καὶ καρποὺς στρογγύλους ἀποκρεμαμένους ὡς
ἀκροχορδόνας· δύναται δὲ ἡ πόα μετὰ καρποῦ πι
νομένη σὺν νίτρῳ καὶ ὑδατώπῳ καὶ καρδάμῳ καὶ ὕδα
τι, ἀπομυρμηκίας πλατείας καὶ στρογγύλας ἐκτινάσσειν· αἴρει
δὲ καὶ ἀκροχορδόνας σὺν ἁλσὶ καταπλασσομένη:-

περὶ σκορόδου

Σκόροδον· οἱ δὲ αἰγιδόβοσκον· οἱ δὲ ἐλαφόβοσκον· Ῥω
μαῖοι, ἄλιουμ· τὸ μέν τι αὐτοῦ ἥμερον καὶ κηπευτόν·
τὸ δὲ ἄγριον τοῦτο ἐν Αἰγύπτῳ, μονοκέφαλον λευκὸν
καλοῦσι· δύναμιν δὲ αὐτῶν δριμεῖα· θερμαντική·
δηκτική· φυσώδης· κοιλίας ταρακτική· ξηραν
τικὴ στομάχου· καὶ ποιητικὴ δίψους· ἑλκωτικὴ τῶν
ἐκτὸς ἐπιφανείᾳ σωμάτων βιβρωσκομένων· ἕλμινθας
πλατείας ἐξάγει καὶ οὖρα ἄγει· ἐχιοδήκτοις δὲ καὶ αἱμο
ρραγοῦσιν, ὡς οὐδὲν ἄλλο ἁρμόζει λαμβανόμενον
οἴνοις ὡμαχῶς· ἢ σὺν τῷ οἴνῳ λεανθὲν καὶ ποθέν· κα
ταπλάσσεται πρὸς τὰ αὐτά, καὶ ἐπὶ τῶν λυσσοδήκ
των ὠφελίμως· καὶ βιβρωσκόμενον ὀνίνησι· καὶ πρὸς
τοὺς τῶν ὑδάτων ἁρμόζει ξενισμούς· ἢ πρὸς τοὺς ὑδροφό
βους· καὶ ἀρτηρίας λαμπρύνει· καὶ βῆχας χρονίας
παρηγορεῖ, ὠμὸν καὶ ὀπτὸν ἑψόμενον· φθεῖρας
κονίδας φθείρει σὺν ἀφεψήματι ὀριγάνου πινόμενον·
καυθὲν δὲ καὶ φυραθὲν μέλιτι, ὑπώπια καὶ ἀλωπεκίας
ἰᾶται καταχριόμενον· ἐπὶ δὲ τῶν ἀλωπεκιῶν, καὶ
σὺν ναρδίνῳ μύρῳ· σὺν ἁλσί τε καὶ ἐλαίῳ ἐξανθή
ματα θεραπεύει· ἀφίστησι δὲ καὶ ἀλφούς· καὶ λειχῆνας
καὶ ἀχῶρας· πιτυριάσεις πραΰνει, σὺν μέλιτι καὶ λιβανωτῷ

ἑψηθέντα· ὀδονταλγίας διακρατούμενα ἐν τῷ στόμα
τι κουφίζει· καὶ ὁ χυλὸς αὐτοῦ καθ' αὑτός· ἢ σὺν οἴνῳ
ἢ ἐλαίῳ ἐνσταζόμενος εἰς τὸ οὖς· ἐν ὤμῳ μὲν ἄρα ὀδόντους
ῥευματίζοιτο, τοῦτο παραθεὺς τῆς βίας ἀπαλλάττει·
μιγὲν δὲ τῷ ἀστεῖα κατὰ πλάσμα σὺν συκῆς φύλλων
καὶ κυμίνῳ· τῆς δὲ κόμης τὸ ἀπόζεμα, ἐγκάθισμα ἐ
μμηνίων· καὶ δευτέρων ἀγωγόν· καὶ ὑποθυμιᾶται δὲ
πρὸς τὸ αὐτό· τὸ δὲ ἐξ αὐτοῦ καὶ τῆς μελαίνης ἐλαίας
γινόμενον τρίμμα καλούμενον δὲ μύττωτον βιβρ
ωσκόμενον, οὖρα κινεῖ· καὶ ἀναστομοῖ· χρήσιμον
δὲ καὶ ὑδροποιοῦσιν:—

περὶ Σεραπιάδος

Σεραπιάς· οἱ δὲ κυρίως ὄρχιν καλοῦσιν, ὡς καὶ αὐτὴν σερ
απιάς, διὰ τὸ πολύχρησον τῆς ῥίζης· οἱ δὲ, διόρχιν·
οἱ δὲ τριόρχιν· φύλλα δὲ ἔχει, ἐοικότα πράσῳ·
ἐπιμήκη· πλατύτερα δὲ καὶ μαλακά· καυλὸς δὲ
σπιθαμιαῖος· ἄνθη ὑπόπορφυρα· ῥίζα ὑπά
ρχει, ῥαβδίοις ὁμοία· ἥτις δύναμιν ἔχει κατα
πλασσομένη, οἰδημάτων διαφορητικήν· καὶ
ἑλκῶν, ἀνακαθαρτικήν· ἀνασκελάζει δὲ καὶ σύ
ριγγας· καὶ τὰ φλεγμαίνοντα παρηγορεῖ, καταπλα
σσομένη· νομὰς ἵστησι· καὶ σηπεδόνας· καὶ τὰς ἐν στό
ματι, κακοηθείας· ἵστησι δὲ καὶ νομὰς ἐν οἴνῳ πο
θεῖσα· ἱστόρηται δὲ περὶ αὐτῆς, ὅσα καὶ περὶ τῆς
κυνὸς ὀρχίας:—

περὶ στοιβῆς

Στοιβή· οἱ δὲ πλάστων· οἱ δὲ χαμαικάρπα· οἱ δὲ,
στοίβιον· οἱ δὲ στεβάδιον· Ῥωμαῖοι, στιπαῦ· γνώ
ριμον· ὁ καρπὸς καὶ τὰ φύλλα, στύφει· ὁ θάμνος καὶ
δυσεντερικοὺς ἰᾶται· ἀγκλύζεται δὲ καὶ εἰς ὦτα
πυορροοῦντα· καταπλασθέντα δὲ τὰ φύλλα, ὠ

φυλάττουσι χιτῶνα ὀφθαλμῶν:~

περὶ στοιχάδος

Στοιχάς· οἱ δὲ συγκλώπα· οἱ δὲ παλιμπράτιον· οἱ δὲ
τυφωνία· ῥωμαῖοι σπίκλα σόβινα· φύεται μὲν
ἐν ταῖς κατὰ γαλλίαν νήσοις, ἀντικρὺς μασσαλίας,
καλουμέναις δὲ στοιχάσιν· ὅθεν καὶ τὴν προσωνυμίαν
ἔσχεν· πόα ἐστὶ λεπτόκαρπος· ὁμοίαν ἔχουσα κόμην
θύμω· μακροφυλλοτέρα μέντοι γε καὶ δριμεῖα· ἐν
τῇ γεύσει ὑπόπικρος πως· ποιεῖ δὲ τὸ ἀφέψημα αὐ-
τῆς πρὸς τὰ ἐν θώρακι, καθάπερ καὶ τὸ ὕσσωπον· μί-
γνυται δὲ καὶ ἀντιδότοις χρησίμως:~

περὶ σκορδίου

Σκόρδιον· οἱ δὲ σκόρβιον· οἱ δὲ πλαφρίτης(?)· οἱ δὲ σύ-
σσομον· οἱ δὲ καλαμίνθη ἀγρία· οἱ δὲ χαμαίδρυς·
ῥωμαῖοι, φριξᾶτο παλουστρίς· φύεται δὲ ἐν ὀρεινοῖς
τόποις καὶ ἑλώδεσι· φύλλα ἐοικότα χαμαίδρυϊ καὶ
οὐχ οὕτως ἐντετμημένα τὴν περιφέρειαν· ποσῶς
ἐν τῇ ὀσμῇ σκορδίζοντα· στυπτικὰ δὲ καὶ ὑπόπικρα·
κατὰ τὴν γεῦσιν· καυλία τετράγωνα· ἀφ' ὧν ἄνθος
ἐρυθρόν· δύναμιν ἔχει ἡ πόα θερμαντικήν· διου-
ρητικήν· ποτιζομένη χλωρὰ ἀλλὰ καὶ ξηρὰ δὲ
ἀφεψομένη σὺν οἴνῳ πρὸς ἑρπετῶν δήγματα καὶ
θανασίμων· πρὸς δηγμοὺς στομάχου καὶ δυσεντε-
ρίαν, δυσουρίαν Σ ἐκλειχθὲν σὺν ὑδρομέλιτι· καθαίρει
καὶ πάχος πυώδους ἐν θώρακι· ποιεῖ πρὸς πα-
λαιὰς βῆχας· καὶ ῥήγματα καὶ σπάσματα σὺν καρδα-
μώμῳ καὶ μέλιτι καὶ ῥητίνῃ, ξηρὰ ἐκλεικτὰ μετὰ
ὄξους· καὶ ὑποχόνδρια χρονίως φλεγμαίνοντα καταπλάσ-
σεται μετὰ κηρωτῆς παρατηρεῖ(?)· ποιεῖ δὲ καὶ πρὸς ποδάγρας
μετ' ὄξους δριμέος παραχριομένη· ἢ μετὰ ὕδατος

Καταπλασσομένη· πρὸς τὰ δὲ ἕλκη ἐμμηνα καὶ
νά· τραύματα κολλᾷ· ἕλκη παλαιὰ ἀνακαθαί-
ρει καὶ ἀπουλοῖ σὺν μέλιτι· ξηρὰ δὲ καὶ ὑπερσάρ-
κώματα στέλλει· πίνεται δὲ καὶ τὸ ἐξ αὐτῆς χύλισμα
πρὸς τὰ ἐρρηγμένα πάθη· ἐναργέστατον δὲ ἐστὶ,
τὸ λύδιον καὶ τὸ κρητικόν:~

⁘ περὶ στρατιώτου ⁘

Στρατιώτης ὁ ἐν τοῖς ὕδασι· οἱ δὲ ποτάμιον στρατι-
ώτην καλοῦσι· αἰγύπτιοι, τιβούφ· προφῆται
αἷμα ἀπὸ λοιφατου· ὠνόμασται δὲ οὕτως, διὰ τὸ ἀ-
πινήχεσθαι τοῖς ὕδασι χωρὶς ῥίζης καὶ ζῆν· φύλ-
λα δὲ ἔχει ἀειζώῳ ὅμοια· μείζονα μέντοι καὶ ψυκτι-
κὴν ἔχων δύναμιν· ἀφιστᾷ αὐτῶν τὰς ἐκ νεφρῶν αἱ- τὰς
μορραγίας πινόμενος· τραύματά τε ἀφλέγματα
τηρεῖ· ἐρυσιπέλατα καὶ οἰδήματα σὺν ὄξει καταπλα-
σσόμενα ἰῶνται:~

⁘ περὶ στρατιώτου χιλιοφύλλου ⁘

Στρατιώτης ὁ χιλιόφυλλος· ἐστι θαμνίσκος μι-
κρὸς σπιθαμιαῖος· ἢ καὶ μείζων· ἔχων τὰ φύ-
λλα ὅμοια ἀνήθῳ ἢ παρωνυχίῳ· ἔστι δὲ καὶ
εὔφορος τῶν φύλλων σφόδρα βραχέα σχιστά·
ἔοικε δὲ μάλιστα τὰ φύλλα τῇ βραχύτητι, καὶ
μήνω ἀγρίῳ· καὶ ἔτι βραχύτερα· καὶ τὸ σύνολον
δὲ τούτου πυκνότερον καὶ ἁδρότερον· ἔχει δὲ καὶ ἐπ᾽ ἄ-
κρῳ κορύφια μικρά· ἀφ᾽ ὧν σκιάδια ὡς ἐν
ἀνήθου τρόπον· ἄνθη μικρὰ λευκά· φύεται
ἐν ἐρήμοις ὑπὸ τραχέσι καὶ μάλιστα, παρὰ τὰς ὁ-
δούς· ἔστι δὲ ἡ βοτάνη αὕτη σφόδρα ἀγαθὴ πρὸς αἱ-
μορραγίας, ἕλκη παλαιὰ καὶ πρὸς φαγ[illegible] καὶ σύριγγας:~

⁘ περὶ σισυμβρίου ⁘

ω
ιβ

Σισύμβριον ἕτερον· οἱ δὲ καρδαμίνην· οἱ δὲ τοῦ τε-
σίον καλοῦσιν· ἔνυδρος ἐστὶν ἡ πόα καὶ τὰ αὐτὰ
τῷ σίῳ γεννωμένη· καρδαμίνην δὲ ἔνιοι λέγουσι διὰ
τὸ ἐοικέναι καρδαμώμῳ τὴν γεῦσιν· φύλλα ἔχει τὰ
μὲν πρῶτον περιφερῆ· αὐξόμενον δὲ σχίζεται
ὡς τὸ τοῦ εὐζώμου· ἐστὶ δὲ θερμαντικόν· οὐρητικόν·
βιβρώσκεται δὲ ὠμόν· ἀποκαθαίρει δὲ καὶ φακοὺς
καὶ ἐφήλεις καταπλασθὲν δι᾿ ὅλης τῆς νυκτός· ἕω-
θεν δὲ ἀποπλυνθέν:~

⁘ περὶ σησαμοειδοῦς τοῦ μέλανος ⁘

Σησαμοειδὲς τὸ μέλαν· οἱ δὲ σησαμίτην· οἱ δὲ σησαμίς·
οἱ δὲ, λύκον τυφλίου· οἱ δὲ ἐλλέβορος λευκός· ἐλλέ-
βορον καλοῦσιν, διὰ τὸ μίγνυσθαι ταῖς καθάρσεσι
τοῦ λευκοῦ ἐλλεβόρου· ἔοικε μὲν ἡ πόα ἀρισάρῳ τῇ·
φύλλα μακρά· καὶ ἄκρεσι μὲν ὅμοια ῥαφανίδος· ἄν-
θος λευκόν· ῥίζα ἰσχνὴ ἄπρακτος· σπέρμα ὅμοιον
σησάμῳ· πικρὸν τῇ γεύσει· καθαίρει τὴν ἄνω κοιλίαν·
φλέγμα καὶ χολὴν ληφθὲν τοῖς τρισὶ δακτύλοις
λαβεῖν μετὰ ἐλλεβόρου λευκοῦ, τριῶν ἡμιωβολίων,
σὺν μελικράτῳ:~

⁘ περὶ σησαμοειδοῦς τοῦ λευκοῦ ⁘

Σησαμοειδὲς τὸ λευκόν· οἱ δὲ κορώνιον· οἱ δὲ σήσαμον
ἄγριον καλοῦσι· καυλίκια ἐστὶ σπιθαμιαῖα· ἔχοντα
φύλλα, κορωνοποδίῳ ὅμοια· δασύτερα μέντοι καὶ
μικρότερα· ἐπ᾿ ἄκρων δὲ τῶν καυλίων κεφάλια ἀν-
θοῦ τοῖς πορφυροῖς μέσον· ἐν οἷς σπέρμα ἐοικὸς
σησάμῳ· πικρὸν κιρρόν· ῥίζα λεπτή· καθαίρει δὲ
χολὴν καὶ φλέγμα ποθὲν τὸ σπέρμα ὀξυβάφου ἥμι-
συ σὺν μελικράτῳ· καταπλασθὲν δὲ μεθ᾿ ὕδατος,
φύματα καὶ οἰδήματα διαφορεῖ· φύεται ἐν τραχέσι

χωρίοις:~ ⁘ περὶ σταφίδος ἀγρίας ⁘

Σταφὶς ἀγρία· οἱ δὲ τρίφυλλον· οἱ δὲ στήσιον· οἱ δὲ
ἀσταφίς· οἱ δὲ φθειροκτόνον· οἱ δὲ φθείριον· αἰ-
γύπτιοι, ἰβισάοιδη· ῥωμαῖοι ἕρβα πηδουκουλάρι·
φύλλα ἔχει ὥσπερ ἀμπέλου ἀγρίας ἐσχισμένα·
καυλία ὀρθά· μαλακά· ἄνθος πορφυροῦν βαθύ,
ὅμοιον· τοὺς δὲ καρποὺς ἐν θυλακίοις παχέων, τὸ
ποκερὸν ἐν τῷ μέλανι· τὰ ἔνδον ἔχει λευκά· τοῦ
τοῦ κόκκου ιε ἢ αὐτοὺς λειανθέντας ἐν μελικράτῳ λα-
βὴ, καθαίρει δι' ἐμέτων παχέα· περιπατεῖτω δὲ ὁ
πιὼν· σφόδρα δεῖ προσέχειν ἀφθοῦ μελίκρατον δι-
δόντας· φθείρει γὰρ τοὺς κατὰ πνιγμὸν κινδύνους καὶ
κατὰ τὸν φάρυγγα· ἁρμόζει τριφθεῖσα καθ' αὑτὴν
καὶ μετ' ἐλαίου καὶ ἀνδράχνη συγχριομένη, πρὸς
φθειριάσεις καὶ κνησμοὺς καὶ ψώρας· διαμασηθεῖ-
σα δὲ, φλέγμα ἄγει πλεῖστον· καὶ ὀδονταλγίας ὠφε-
λεῖ, ἐν ὄξει ἀφεψηθεῖσα καὶ διακλυζομένη· καὶ οὖλα
ῥευματιζόμενα στέλλει· καὶ ἄφθας θεραπεύει· μί-
γνυται δὲ καὶ τοῖς πυρωτικοῖς μαλάγμασιν:~

⁘ περὶ σπάρτου ⁘

Σπάρτος· οἱ δὲ λοβούς· οἱ δὲ λύγον καλοῦσιν· οἱ δὲ λυ-
γαρίαν· θάμνος ἐστὶ φέρων ῥάβδους μακρὰς
δυσθραύστους, αἷς τὰς ἀμπέλους δεσμεύουσι·
φυλλάρια ἔχων μικρά· ἀραιά· φέρει δὲ λοβοὺς,
ὡς φασιούλους· ἐν οἷς σπέρματα φακοειδῆ, ἄν-
θος μηλίνου, ἢ κίτρινον, ὥσπερ λευκοΐου· τοῦ τε
καρπὸς καὶ τὰ ἄνθη ποθέντα σὺν μελικράτῳ, ὁλκὴ
ὀβολῶν ε· καθαίρει σώματα ἐν τάχει πολλῆς
ὥσπερ ἐλλέβορος ἀκινδύνως· ὁ δὲ καρπὸς κινεῖ καὶ
τὴν κάτω κάθαρσιν· καὶ αὗται δὲ αἱ ῥάβδοι ἐν ὕδα-

βραχυτέρας ἢ ταπεινοτέρας καὶ χυλιασθείσας, ἰσχιαδι-
κῶν ἐστὶ βοήθημα ὅσον κύαθος πινόμενος νή-
στεσι· ἔνιοι δὲ ἐναποβρέξαντες ἅλμῃ θαλαττίᾳ,
ἐγκλύζουσι τοὺς ἰσχιαδικούς· ἄγει δὲ καὶ αἱματώ-
δεις:~ ⁘ περὶ σεσέλεως μασσαλεωτικοῦ ⁘

Σέσελι μασσαλεωτικόν· οἱ δέ, σφάγνον· φύλλα ἔχει
ἐοικότα μαράθρῳ· παχύτερα δὲ καὶ τὸν καυλὸν εὐτρο-
φέστερον· ἔχει δὲ ὡς σκιάδιον δίκαιον· ἀνήθῳ παρα-
πλήσιον· ἀφ' οὗ ὁ καρπὸς ὑπομήκης· γωνιω-
μένος· δριμὺς βιβρωσκόμενος· ἡ ῥίζα μακρά, εὐώ-
δης· δύναμιν δὲ ἔχει ὁ καρπὸς καὶ ἡ ῥίζα θερμαν-
τικήν· πινόμενον δὲ στραγγουρίαν ἰᾶται· καὶ ὀρθο-
πνοίαν ὠφελεῖ· καὶ ὑστερικὰς πνίγας καὶ ἐπιλήμ-
πτους· ἔμμηνά τε ἄγει καὶ ἔμβρυα· καὶ πρὸς τὰ ἐν-
τὸς πάντα ποιεῖ· καὶ βῆχας ἰᾶται παλαιάς· πινόμενον
μετὰ οἴνου· πεπτικόν ἐστι καὶ στρόφων λυτικόν·
ἐπιάλοις τε χρήσιμον· καὶ πρὸς τοὺς ἐν ὁδοῖς κρυ-
μούς, σὺν πεπέρι καὶ οἴνῳ πίνεται· δίδοται δὲ
καὶ αἰξὶ καὶ τοῖς λοιποῖς κτήνεσιν πρὸς εὐτο-
κίαν:~ ⁘ περὶ σεσέλεως αἰθιοπικοῦ ⁘

Σέσελι αἰθιοπικόν· αἰγύπτιοι δέ, κυνοφρίκιν·
φύλλα ἔχει ὅμοια κισσῷ· ἐλάττονα δὲ καὶ ἐπιμήκη,
πρὸς τὰ τοῦ περικλυμένου· θάμνος μέγας ὡς δι-
πηχυς· ἀφ' οὗ καυλοὶ ἀποθηκιάζουσι· κεφάλια δὲ ὡς
ἀνήθου· σπέρμα δέ, μέλαν· πυρῶδες· δριμύτερον καὶ
εὐωδέστερον τοῦ μασσαλεωτικοῦ· ἡδὺ δὲ ἰσχυρῶς:~

⁘ περὶ σεσέλεως πελοποννησιακοῦ ⁘

Σέσελι πελοποννησιακόν· τὸ δὲ ἐν πελοποννήσῳ, φύ-
λλα ἔχει κωνείῳ παραπλήσια· πλατύτερα δὲ καὶ
παχύτερα· καυλὸν μείζονα τοῦ μασσαλεωτικοῦ·

νάρθηκος· ἀπὸ τὰ κύρωσι δὲ τούτω, καρπὸς πλατύτε-
ρος καὶ ὁλώδης· δύναμιν δὲ τὴν αὐτὴν ἔχει· φύεται
ἐν τόποις τραχέσι καὶ ἀφύτοις· καὶ γεωλόφοις.

περὶ σκαμμωνίας

Σκαμμωνία· οἱ δὲ κολοφωνία· οἱ δὲ δακτύλιον· ῥω-
μαῖοι, κολοφώνιουμ· αἰγύπτιοι, σωκαλουμ·
κλῶνας ἀνίησι πολλοὺς ἀπὸ μιᾶς ῥίζης, τριπή-
χεις· πάχους ἐμφαίνοντάς τι τῆς δασύτητος· καὶ
τὰ φύλλα δασέα, ὅμοια ἑλξίνῃ· ἢ κισσῷ· μαλα-
κώτερα μέντοι καὶ τρίγωνα δέ· ἄνθη λευκὰ περιφε-
ρῆ· κοῖλα· ὡς καλαθίσκη βαρύοσμα· ῥίζαν μή-
κους· πάχος ὅσον βραχίων· λευκὴν βαρύοσμον·
ὀπούμενη· συλλέγεται δὲ ὁ ὀπὸς τῆς κεφαλῆς, ἀ-
πὸ τῆς ῥίζης ἀφαιρουμένης· καὶ θολερῶς στρογγυλι-
ζομένης δι᾽ ἐγκοιλότητα· συρρεῖ γὰρ εἰς αὐτὴν ὁ ὀ-
πός· καὶ οὕτως ἀπολαμβάνεται ἐς μύακας·
ἔνιοι δὲ τὴν γῆν ὀρύξαντες θολοειδῶς καὶ ἐς αὐτὴν φύ-
λλα ἐπιθέντες, καταχέουσι τὸν ὀπόν· καὶ οὕτως
ξηρανθέντα ἀναιροῦνται· ἔστι δὲ καλὸς ὁ διαυγής
καὶ κοῦφος· ἀραιὸς ταυροκολλώδης τὴν χρόαν· ἐρ-
ρας τὰ ἔχων λεπτὰς· σπογγώδης· τοιοῦτος δὲ ἐστὶν
ὁ σύμμικτος, τῆς καταστάσεως κομιζόμενος· μὴ
προσέχειν δὲ μόνον τὸ λευκαίνεσθαι αὐτὸν κατὰ
τὴν τῆς γλώσσης ἄψιν· τοῦτο γὰρ γίνεται καὶ παραμι-
γέντος αὐτῷ ὀποῦ τιθυμάλλου· μάλλον δὲ τοῖς προ-
ειρημένοις· καὶ τῷ μὴ λίαν πυροῦν τὴν γλῶσσαν· ὅπερ
γίνεται τοῦ τιθυμάλλου μιγέντος· ὁ δὲ συριακὸς καὶ
ὁ ἐν ἰουδαίᾳ γινόμενος, χείριστοι· βαρεῖς· πυκνού-
μενοι· δολούμενοι τῷ τιθυμάλλῳ καὶ ὀροβίνῳ ἀλεύρῳ·
δύναμιν δὲ ἔχει ὁ ὀπὸς ληφθεὶς σὺν μελικράτῳ·

ἢ ὕδατι πλῆθος δραχμῆς· ἢ τετραοβόλου, κα-
θαίρει φλέγμα καὶ χολήν· εἰς δὲ τὸ λεπτύνας τὴν κοι-
λίαν, ἀρκέσουσι δύο ὀβολοὶ μετὰ τῆς σησάμης· ἢ τινὸς
λαμβανόμενος· δίδοται καὶ πρὸς ἐνεργεστέραν κά-
θαρσιν τοῦ μὲν ὀποῦ τετρόβολον· ἐλλεβόρου δὲ μέ-
λανος, ὀβολοὶ δύο· ἁλὸς ∠ α´· συνάγονται δὲ καὶ
ἄλλαι καθάρσεις, πρὸς θ´ καὶ ς´ τῶν ἄλλων κ(αὶ) ὀλ-
κῶν, τῆς σκαμμωνίας τοῦ ὀποῦ μισγομένων· λαμ-
βανέτωσαν πρὸς δύναμιν τὸ μὲν τοῦ λάδου, τρία κοχλι-
άρια, μείζους δὲ, δύο· ἐλάχιστον δὲ ἕν· καθαίρει καὶ
τῆς ῥίζης α´ ∠ καὶ δ´ ὀβ(ολοὶ) πλῆθος, σὺν οἷς ἂν ἄρηται: ἔνι-
οι δὲ ἀφέψοντες αὐτὴν πίνουσι· καθαίρει δὲ ἑψηθεῖσα δὲ ἐν
ὄξει καὶ λεανθεῖσα μετὰ ἀλεύρου κριθίνου, ἰσχιαδικοῖς
ἐστὶ κατάπλασμα· ὁ δὲ ὀπὸς προστεθέμενος ἐν ἐρίῳ
τῇ μήτρᾳ, ἔμβρυα φθείρει· διαφορεῖ δὲ φύματα
σὺν μέλιτι ἐπιτεθέμενος· ἑψηθεὶς δὲ ἐν ὄξει καὶ
καταχρισθεὶς λέπρας ἐξάγει· κεφαλαλγίας τὰς χρο-
νίας ἰᾶται ἐπίβρεγμα σὺν ὄξει καὶ ῥοδίνῳ:–

⁘ περὶ σμίλακος ⁘

Σμίλαξ τραχεῖα· οἱ δὲ, θύμιον καλοῦσι· ῥωμαῖοι δὲ τέ-
ξος· τὰ φύλλα ἔχει ὅμοια κισσῷ· μαλακώτερα
δὲ καὶ λειότερα· τὰ κλήματα ὡς πυκνὴ περὶ αὐτῆς, ἀ-
κάνθας οὐκ ἔχοντα· ἑλίσσεται δὲ περὶ τὰ δένδρα,
ὡς καὶ ἡ προτέρα· καρπὸν δὲ ἔχει ὡς πυρθάρμου μέ-
λανα μικρόν· ἀλλὰ δὲ ἀπαλώτερον ἔχων τὰ ἄνθη λευκά·
πολλά· καὶ τὰ περὶ τὴν σμίλακα περιφερῆ· καὶ
σκηνὰς διὰ αὐτῆς γίνονται τοῦ θέρους· φυλλοροεῖ
δὲ τῷ φθινοπώρῳ· τούτου ὁ καρπὸς μετὰ τοῦ δορυκ-
νίου πινόμενος τριόβολον ἀντὶ τοῦ κ̈· ἀκαθάρτου ποι-
εῖ ἐνύπνια πολλὰ καὶ ταραχώδη ὁρᾶν ἱστορεῖται:–

περὶ σκάνδικος

Σκάνδιξ· ῥωμαῖοι, ἀρβλικανδάριον· οἱ δὲ ἀκουκλ·
κοινῶς δὲ βελονίδα καλοῦσι· καὶ τοῦτο δὲ ἄγριον ἐστὶ
λάχανον· ὑπόδριμυ καὶ ἐπίπικρον· εὐώδιμον, δὲ
κοίλιον καὶ εὐστόμαχον καὶ οὐρητικόν· τὸ δὲ ἀφέ-
ψημα αὐτοῦ, ἐστὶ χρήσιμον καὶ νεφρετικοῖς καὶ
ἡπατικοῖς πινόμενον· φύλλα ἔχει μαράθρῳ πα-
ραπλήσια καὶ καυλούς· κεφαλὰς δὲ καὶ καρπὸν ἐπ'
αὐταῖς ὅμοιον καρδαμώμῳ· ἢ καὶ μακρότερον
πολύ· ὅθεν καὶ βελονίδα παρὰ τοῖς πολλοῖς λέγε-
ται:—

περὶ σπαρτίου

Σπαρτίου· φύλλα ἔχει ὥσπερ κόττα ξιφιδίῳ· κλημά-
τια δὲ καὶ ἀπηλινὰ στερρά· ἢ κρίνου πορφυροῦ· μι-
κρότερα μέντοι· ἀποπληροῦνται δὲ τοῦ καυλοῦ, ὥσπερ σφαι-
ρία· ἐν οἷς ὁ καρπός· οἷον τὰ δὲ ῥίζα καὶ ὁ καρπὸς
σὺν οἴνῳ τοῖς θηριοδήκτοις:—

ἀρχὴ τοῦ · Τ ·

~~περὶ~~ τήλις· οἱ δὲ, κάρφος·

περὶ τήλιος

Τῆλις· οἱ δὲ, κάρφος· οἱ δὲ βούκερας· οἱ δὲ, αἰγόκερας·
οἱ δὲ κεραΐτις· οἱ δὲ λωτόν· ῥωμαῖοι, φαινογραί-
κουν· καὶ τὸ ἐκ τῆς τήλεως ἄλευρον, μαλακτικὸν
ἐστὶ καὶ διαφορητικόν, καὶ ταπλασσόμενον λεῖον σὺν μελι-
κράτῳ· ἀφθοῦνται δὲ ποιεῖ πρὸς φλεγμονὰς τὰς ἐντὸς
καὶ τὰς ἐκτός· σὺν νίτρῳ δὲ καὶ ὄξει λειούμενον καταπλασσό-
μενον καὶ σπλῆνα τήκει· τὸ δὲ ἀφέψημα αὐτῆς ἐγκαθισ-
μα ταῖς γυναιξίν, ὠφελεῖ ταῖς φλεγμοναῖς ἢ μύσιν μή-
τρας ἐνισταμένας· σμήχει δὲ καὶ τρίχας καὶ ἄχωρας καὶ πίτυ-
ρα· καὶ τὸ ἀπόθλιμμα δὲ αὐτῆς ἐν ἑψήσει ἐνύ-
δατι· καὶ σὺν στέατι δὲ χηνείῳ, πρὸς τὰς αὐτὸ

πισσοῦ μαλάσσων καὶ συστρύφων τοὺς περὶ τὴν ὑ-
στέραν τόπους:~ ⁘ περὶ τηλεφίου ⁘

Τηλέφιον· οἱ δὲ ἀτηλέφιον· οἱ δὲ ἀείζωον ἄγριον·
οἱ δὲ ἀνδράχνην ἀγρίαν καλοῦσιν· ῥωμαῖοι, ἰλλεκέ-
βρα· τοῦτο καὶ τοῖς φύλλοις καὶ τῷ καυλῷ, ἔοικεν
ἀνδράχνῃ· μᾶλλον δέ, συμφύτῳ· ἔχει δὲ φύλλα
μακρότερα· μασχάλας ἔχων δύο παρ' ἑκάστῳ γό-
νυ τῶν φύλλων ἐμφυόμενα· ἀφ' ὧν κλωνία ἓξ ἢ ζ΄ ἀπὸ
τῆς ῥίζης· φύλλων πλήρη κυανοειδῶν· παχέων τε καὶ γλί-
σχρων καὶ σαρκωδῶν· ἄνθη μήλινα· ἢ λευκά· φύε-
ται ἐν ἀμπελῶσι καὶ τόποις ἐργασίμοις ἔαρος· θε-
ραπεύει δὲ τὰ φύλλα καταπλαττόμενα ἐπὶ ὥρας
ϛ΄, λεύκας· δεῖ δὲ μετὰ ταῦτα, ἀπολύσαντα χρί-
εσθαι· ἀρδαλὰς δὲ καὶ ἀλφοὺς ἐπιχριόμενα σὺν ὄξει·
ἐν ἡλίῳ δεῖ μέντοι μετὰ τὸ ξηρανθῆναι αὐτὸ ἀπο-
σπᾶν:~ ⁘ περὶ τριβόλου ⁘

Τρίβολος· οἱ δὲ βουκέφαλον· οἱ δὲ ταυροκέρας·
ῥωμαῖοι, τριβόλουμ ἀκουατικουμ· δισσοῦ εἶδος·
ὁ μὲν χερσαῖος ἀνδράχνῃ τὰ φύλλα ἔοικε κατὰ τὰ ἄ-
κρα· λεπτότερα δὲ πολλά· καὶ τὰ καυλία ἐπὶ γῆς-
κατὰ τῆς ἐστρωμένα· καὶ πρὸς αὐτοῖς ἀκάνθας
στιφρὰς σκληράς· φύονται δὲ παρὰ ποταμοῖς
καὶ οἰκοπέδοις· ὁ δὲ ἕτερος ἔνυδρος ἐν ποταμοῖς
φυόμενος· ὑπερέχων τὴν κόμην· τὴν δὲ ἄκαν-
θαν ὑποκρύπτων· φύλλα πλατέα· καυλὸν δὲ ἐξ ἄ-
κρου· παχὺ μᾶλλον ὡς λωτοῦ· πρόσεστι δὲ καὶ τρί-
χωσιν τινὰ ἀπὸ παραφυόντα σταχυώδη· καρπὸς δὲ
σκληρὸς ὡς καὶ θατέρου· ἀμφότεροι δὲ ψύχουσι·
στύφουσιν· ἔστι τε πάσης φλεγμονῆς καταπλασ-
μα· σὺν μέλιτι δὲ ἄφθας· παρίσθμια· καὶ οὖλα

θεραπεύουσιν· σὺν μέλιτι δέ, ἄφθας· χυ-
λίζεται δὲ καὶ ἐς τὰ ὀφθαλμικά· ὁ δέ γε καρπὸς
αὐτῶν χλωρός, καὶ λιθιῶντας πινόμενος ἀρήγει·
τοὺς δὲ χερσαίους ὅσον ∠ α΄ πινομένη, τοὺς ἀχαο-
δήκτους [?] δὲ μόζει [?] καὶ θανασίμοις μετ' οἴνου πινό-
μενος· κλάνδος [?] δὲ καὶ ψύλλους τὸ ἀπόζεμα αὐτοῦ
ῥανθέν :~ περὶ τραγοριγάνου·

Τραγορίγανον· θάμνος ἐστὶν ὀριγάνῳ ἢ ἑρπύλλῳ ἀ-
γρίῳ ὅμοιος κατά τε τὰ φύλλα καὶ τὰ κλωνία· ἔστι
δέ τι κατὰ τόπους εὑρισκόμενός τις θυαρνασώρα [?] καὶ
πλατύφυλλος· ὡς κολλώδης ἱκανῶς· ἡ δέ τις
λεπτόκαρφος καὶ λεπτόφυλλος· ἣν καὶ πρασίαν
ἔνιοι καλοῦσιν· ἀρίστη δὲ ἡ κῴος καὶ σμυρναία καὶ
κρητική· ἐν κοιλίαις πινομένου τοῦ ἀφεψήμα-
τος· ὑποβιβάζουσι γὰρ χολερικῶς ὡς ἀληθεῖ [?]
καὶ σπληνικοῖς ποτιζόμεναι μετὰ ὄξους· καὶ ἔμμηνα
ἀνάγουσι· βοηθοῦσι δὲ καὶ περιπνευμονίαις
σὺν μέλιτι ἐκλειχόμενα· δίδοται καὶ ἀφ' ὧν ἄλλοις, καὶ
ναυτίᾳ καὶ θέρμῃ ὑποχονδρίων παρακολουθούσῃ·
διαφορεῖ δὲ καὶ οἰδήματα μετὰ ἀλφίτων καταπλα-
σσόμενα :~ περὶ τράγου

Τράγος ὁ μέλος [?]· οἱ δὲ τράγιον· οἱ δὲ τραγόκερως· οἱ δὲ
σκόρπιον· ῥωμαῖοι, κορνουλάκα [?]· τὰ μὲν φύ-
λλα ἔχει ὅμοια σκολοπενδρίῳ· ῥίζαν, λευκὴν· λε-
πτήν· παραπλησίαν ἀγρίᾳ ῥαφανῷ ἢ ἀκόρῳ·
αὕτη βοηθεῖ δυσεντερικοῖς· ἐμμήνων καὶ ἀφθῶν [?] ἀγω-
γὸς [?] μένει [?]· προβαλλομένη κατὰ τὸ φθινόπωρον τὰ φύλλα·
ὀσμὴν ἔχει τράγου· ὅθεν καὶ κέκληται· φύεται ἐν
ὀρεινοῖς καὶ κρημνώδεσι τόποις· ἡ δὲ ἐν κρήτῃ φυο-
μένη, τὰ φύλλα ἔχουσα σχίνῳ ὅμοια καὶ τὰς ῥάβδους καὶ

τοῦ καρποῦ· μικρότερα δὲ πάντα· φέρει δὲ καρπὸν
κόμης, παραπλήσιον· ταύτης τὰ φύλλα καὶ ὁ καρπὸς
καὶ τὰ δάκρυα καὶ τὰ πλασσόμενα σὺν οἴνῳ, ἀποσπῶν-
τας σκώλωπας καὶ πάντα ἐμπηγνύμενα· πινόμενα
δὲ στραγγουρίαν ἰᾶται· καὶ λίθους τοὺς ἐν κύστει θρύ-
πτει· καὶ τὰ ἔμμηνα ἄγει· λαμβανόμενα δὲ ὁλκῆς ∠
φασὶ δὲ καὶ τὰς ἀγρίας αἶγας τοξευθείσας καὶ νεμηθεί-
σας τὴν πόαν, ἐκβάλλειν τὰς ἀκίδας :—

περὶ τραγοπώγωνος

Τραγοπώγων· φύλλα ἔχει ὅμοια σκορόδῳ ἢ κρόμμυῳ· καυ-
λὸν δὲ σπιθαμιαῖον ἢ καὶ μείζονα· ἐπ' ἄκρου δὲ
κεφαλὴν φέρει ἐπιμήκη καὶ οὐ στρογγύλην· ἀλλὰ ἐμ-
φερῆ μικρᾷ μήκωνος· ῥίζα μακρὰ γλυκεῖα· ἐσθί-
εται ἡ πόα ἐδώδιμος :—

περὶ τράγου

Τράγος ἄκαρπος· οἱ δὲ, σκορπίος· οἱ δὲ τραγάκανθα·
φύεται παρὰ θάλασσαν· θαμνίσκος οὐ μέγας·
ὅσον σπιθαμῆς ἢ καὶ μείζων· φύλλα οὐκ ἔχει· ἐπὶ δὲ
τῶν κλάδων οἱονεὶ ῥάγας· μικροὶ· πυρροί· ὀξεῖς ἀπ' ἄ-
κρων· πολλοὶ λίαν· γευσαμένῳ στυπτικοί· τούτου ὁ
καρπὸς καὶ αἱ ῥάγες σὺν οἴνῳ ποθείς, κοιλιακοῖς
καὶ διαρροϊκοῖς βοηθεῖ σιαρχίοις :—

περὶ τιθυμάλλου

Τιθύμαλλος χαρακίας· ὃς καὶ ἄρρεν καλεῖται· οἱ δὲ, κομή-
της· οἱ δὲ μηκωνίτης· οἱ δὲ ἄλυπος· οἱ δὲ ἀλητίτις.
Ῥωμαῖοι, λασκάδμ· οἱ δὲ, ἀσκαύ· ὁ ὀπὸς τούτου ἐστὶν
ὁ δὲ σκαμμωνία(?)· κοινῶς γαλατζίδα· φύεται ἐν τρα-
χέσι τόποις καὶ ὀρεινοῖς· δύναμιν δὲ ἔχει ὁ ὀπὸς κα-
θαρτικὴν τῆς κάτω κοιλίας· ἄγων φλέγματα καὶ χο-
λήν, ὀβολῶν δύο τὸ πλῆθος λαμβανόμενος, μετὰ

ὀξυκράτου· σὺν μελικράτῳ δὲ καὶ ἑψημένου κυάθου· ὁ
πίζεται δὲ περὶ τοῦ τρύγητου, συναχθεισῶν τῶν ῥά-
βδων καὶ ἀποτμηθεισῶν· ἀγκυλᾶσθαι δὲ αὐτοῦ δὲ,
δεῖ ἀγγεῖον· ἔνιοι δὲ, ὄροβον ἄλευρον μιγνύντες τὸν
ὀπόν, συναναπλάττουσι τροχίσκους, ὀροβιαί-
ους μεγέθει· τινὲς δὲ καὶ αὐτοῦ εἰς τὰ ξηραινόμενα ἀ-
ποστάζουσιν διὰ σταλαγμοὺς τρεῖς ἢ δ'· καὶ ξηραινόμε-
ναι ἀποτίθενται· καθ᾽ αὐτὸν δὲ τριβόμενος ἐν
θυΐᾳ, διαπλάττεται καὶ ἀποτίθεται· ἐν δὲ τῷ
ὀπίζειν, οὐ δεῖ κατὰ ἄνεμον ἵστασθαι· οὐδὲ τὰς χεῖ-
ρας προσφέρειν τοῖς ὀφθαλμοῖς· ἀλλὰ καὶ πρὸ τοῦ ὀπίζειν,
τὸ σῶμα διαχρίειν ἢ στέατι, ἢ ἐλαίῳ μετὰ οἴνου· μά-
λιστα δὲ, πρόσωπον καὶ ὄσχεον· τράχηλον δὲ καὶ τὸν
φάρυγγα· ὁ θεὶς δὲ γάλα καταπότια, περιπλάττειν κη-
ρῷ, ἢ μάλιστα ἀφθῶν, καὶ οὕτως διδόναι· ἰσχάδας μὲν
τὰς δύο ἢ τρεῖς λαμβανόμενας, αὐτάρκεις εἰσὶ πρὸς
κάθαρσιν· ψιλοῖ δὲ καὶ τρίχας ὁ ὀπὸς πρὸς φάλας
ἀποχρισθεὶς ἐν ἡλίῳ μετ᾽ ἐλαίου· καὶ τὰς ἀπογινομένας
ξανθὰς καὶ λεπτὰς ποιεῖ· καὶ τέλος συμφέρει πάντα· ἐν-
τιθέμενος δὲ καὶ τοῖς βρώμασι τῶν ὀδόντων, κουφίζει
τὰ ἀλγήματα· κηρῷ δὲ ἀποπλάττειν, ἵνα μὴ παραρρυ-
εὶς καυκάσῃ τοῦ φάρυγγα ἢ τὴν γλῶσσαν· αἴρει δὲ καὶ
μυρμηκίας καὶ ἀκροχορδόνας· καὶ θύμους καὶ λειχῆνας
ἀχριόμενος· ἁρμόζει καὶ πρὸς πτερύγια καὶ ἄνθρακας·
φαγεδαίνας· γαγγραίνας· σύριγγας· καὶ ὁ καρπὸς φ-
θινοπώρῳ συναχθεὶς καὶ ξηρανθεὶς ἐν ἡλίῳ·
κοπεὶς τῷ ἀκροφύσος καὶ ἀποβρασθεὶς καθαρὸς ἀποτί-
θεται· καὶ τὰ φύλλα ὁμοίως ξηρά· ποιεῖ δὲ ὁ καρπὸς
καὶ τὰ φύλλα τὰ αὐτὰ τῷ ὀπῷ· πλῆθος ἡμίσου ὀξυ-
βάφου ποτιζόμενα· ἔνιοι δὲ καὶ ταριχεύουσιν αὐτό·

μιγνυμένου τὸ δὲ ἀπὸ τοῦ γάλακτος λαπιδίῳ καὶ προσκύ-
φω· καὶ ἡ ῥίζα δὲ ὀμφαλῷ ἐπιπλασθεῖσα ἐκβάλλει τὰ κα-
τὰ κοιλίαν· ἑψηθεῖσα δὲ σὺν ὄξει καὶ διακλυζομένη
ταῖς γομφιαλγίαις βοηθεῖ:~

περὶ τιθυμάλλου μυρσινίτου

Τιθύμαλλος μυρσινίτης· ὃν ἔνιοι οἱ καρυΐτην καλοῦσι·
σπρὸς ἐμφερὴς δαφνοειδής· λευκὸς τῷ γάλακτι καὶ τῷ δέ-
σει· τὰ δὲ φύλλα, ὅμοια ἔχει μυρσίνῃ· μείζονα δὲ καὶ
στερεά· ἐπ᾽ ἄκρου, ὀξέα καὶ ἀκανθώδη· κλήματα
δὲ ἀπὸ τῆς ῥίζης ὡς σπιθαμιαῖα ἀφίησι· τὸν δὲ καρ-
πὸν φέρει, παρ᾽ ἐνιαυτόν, καρύῳ, ὅμοιον· ἠσυχῆ
δάκνοντα τὴν γλῶτταν· φύεται δὲ καὶ οὗτος, ἐν τρα-
χέσι χωρίοις· δύναμιν δὲ ἔχει καὶ ἀπόθεσιν ὁ καρπὸς
καὶ τὰ φύλλα καὶ ὁ ὀπός, ὁμοίαν τῷ προαυτοῦ· ἐμετι-
κώτερος μέντοι ἐστὶν οὗτος:~

περὶ τιθυμάλλου δενδρίτου

Τιθύμαλλος δενδρίτης· ὁ δὲ ἐν ταῖς πέτραις φυόμενος,
δενδροειδὴς καλούμενος· ἀμφιλαφὴς ἄνωθεν καὶ
πολύκομος· ὀποῦ μεστός· ὑπέρυθρος τοὺς καυλούς·
περὶ οὓς τὰ φύλλα μυρσίνῃ λεπτῇ προσεοικότα· καὶ
καρπὸς δὲ ὅμοιος τῷ τοῦ χαρακίου· παραπλησί-
ως δὲ καὶ οὕτως ἀποτίθεσθαι καὶ ἐνεργεῖ ὡσαύτως τοῖς
προειρημένοις:~ περὶ τιθυμάλλου πλατυφύλλου

Τιθύμαλλος πλατύφυλλος· φλόμῳ ἔοικεν· οὗ καὶ
αὐτοῦ ἡ ῥίζα καὶ ὁ ὀπὸς καὶ τὰ φύλλα, ἄγει ὕδατα διὰ
τῆς κοιλίας· ἀποκτείνει δὲ καὶ τοὺς ἰχθύας κοπεὶς καὶ
ἐνδιηθεὶς τῷ ὕδατι· καὶ οἱ προγεγραμμένοι δὲ τὸ αὐ-
τὸ ποιοῦσιν:~ περὶ τιθυμάλλου κυπαρισσίου

Τιθύμαλλος κυπαρισσίας· οἱ δὲ χαμαιπίτυν· οἱ δὲ τι-
θυμάλλιον· ῥωμαῖοι, μουλτιπλαγουκαπρίνα· ὁ δὲ

κυπαρισσίας καλούμενος, ἀνίησι σπιθαμιαῖον ἢ καὶ μεί-
ζονα καυλόν, ἐξ οὗ βλαστάνει· τὰ δὲ φύλλα
τῶν τῆς πίτυος ὅμοια· τρυφερότερα δὲ καὶ λεπτότερα·
καθόλου δὲ ἔοικε πίτυϊ ἄρτι φυομένῃ· ὅθεν καὶ ὠνομά-
σθη· πεπλήρωται καὶ οὗτος ὀποῦ· δύναμιν δὲ ἔχει,
ὁμοίαν τοῖς πρὸ αὐτοῦ :— περὶ ἡλιοσκόπου :·:

Τιθύμαλλος ἡλιοσκόπιος· οἱ δὲ τιθυμαλλίς· ῥω-
μαῖοι, ἀρβολακτέα· οἱ δὲ λακτοῦκα καπρίνα· ὁ δὲ
δὲ ἡλιοσκόπιος λεγόμενος, ἀνδράχνῃ ὅμοια αὐ-
χεῖ τὰ φύλλα· λεπτότερα δὲ καὶ περιφερέστερα· κλ-
ῶνας δὲ ἀνίησιν ἀπὸ τῆς ῥίζης, δ΄ ἢ ε΄· λεπτούς·
ἐρυθρούς· ὀποῦ λευκοῦ μεστούς· κεφαλὴν δὲ ἀνηθώ-
δη· καὶ ὁ καρπὸς δὲ ὥσπερ ἐν φύλλοις· συμπερι-
φέρεται δὲ τούτου ἡ κόμη, τῇ τοῦ ἡλίου κλίσει· ὅθεν
καὶ ὠνόμασθαι· ἐν ἐρείποις μάλιστα καὶ περὶ πόλεις
φύεται· συλλέγεται δὲ ὁ καρπὸς καὶ ὁ ὀπός, ὥσπερ
καὶ τῶν ἄλλων· δύναμιν ἔχων τὴν αὐτήν· οὐχ οὕτως μέν-
τοι ἐπιτεταμένην :— περὶ τιθυμάλλου παραλίου :·:

Τιθύμαλλος παράλιος· οἱ δὲ τιθυμαλλίδα· οἱ δὲ μη-
κώνιον· οὗτος φύεται ἐν παραθαλασσίοις τόποις·
κλῶνας δὲ ἔχει σπιθαμιαίους· ὀρθίους· ὑπέρυ-
θρους· ε΄ ἢ ς΄ ἀπὸ τῆς ῥίζης· περὶ οὓς στοιχηδὸν
τὰ φύλλα μικρά· ὑπόστενα· προμήκη· λίνῳ ἐοι-
κότα· κεφαλὴν δὲ ἐπ᾽ ἄκρου πυκνήν· περιφερῆ· ἐν
ᾗ ὁ καρπὸς ὥσπερ ὄροβος ποικίλος· ἄνθη λευκά·
ὅλος δὲ ὁ θάμνος καὶ ἡ ῥίζα, ὀποῦ λευκοῦ μεστή· χρῆ-
σις δὲ καὶ ἀπόθεσις καὶ τούτου, ὅμοια τοῖς προειρημένοις :—
ἴφη· ἢ τῆς ἀστὴν ἡ σύκαλις· ἡ δὲ βρίζαν καλοῦσι· φύλλον
ἀνίησι, κυπαρισσοειδὲς ὅμοιον· καυλὸς δὲ λεῖος ὅλος· ἀπο-
γωνοπερικείμενον ἄνθος πυκνὸν ἐμπεπλησμένον· ὅμοι-

λοῦσιν ἔνιοι θηλυκόν· ταύτης τὸ ἄνθος ἀναληφθὲν
στατὶ πολλῷ ὕδατι πεπλυμένῳ, καὶ τὰ κατακαύματα
θεραπεύει· φύεται ἐν ἄλσεσι καὶ ὑδροφόροις
τόποις:~ ⁘ περὶ τευκρίου ⁘

Τεύκριον· οἱ δὲ τεύχριον· οἱ δὲ χαμαίδρυν καλοῦσι·
οἱ δὲ τευκρίδος· πόα ῥαβδοειδής· ἐοικυῖα χαμαίδρυϊ·
λεπτόφυλλος· ἔχουσα ἐρεβίνθῳ τὸ πέταλον ὅμοιον·
φύεται δὲ πλεῖστον ἐν Κιλικίᾳ καὶ ἐν ἑτέροις πετρώ-
δεσι τόποις· δύναμιν δὲ ἔχει χλωρὰ μετὰ ὀξυκράτου
ποθεῖσα· ἢ ξηρὰ καὶ ἀποζεσθεῖσα καὶ πινομένη, σπλῆ-
να τήκειν ἰσχυρῶς· μετὰ οἴνου δὲ αὐστηροῦ καὶ παλαι-
οῦ ἀποτριτωθεῖσα καὶ ποθεῖσα, ὡς ἀχάσας ποιεῖ· τι-
νὲς βάλλουσιν εἰς τὴν πόσιν, καὶ πέπερι ἀνάλογον·
κράτιστον δὲ μηδόλως βάλλειν· καταπλάσσεται δὲ με-
τὰ σύκων καὶ ὄξους ἀπὸ σπληνικῶν· ἀπὸ θηριοδήκτων
δέ, μετὰ ὄξους μόνου:~ ⁘ περὶ τριπολίου ⁘

Τριπόλιον· οἱ δὲ τεχλίν· οἱ δὲ μήθεος· οἱ δέ, ποταμογεί-
των· οἱ δὲ σαχυΐτις· ῥωμαῖοι, τριφολιοῦμ μαίους·
φύεται ἐν παραθαλασσίοις τόποις· οὓς ἐπικλύζει ἡ
θάλασσα καὶ ὑποχωρεῖ· οὔτε δὲ ἐν ξηρᾷ οὔτε ἐν
θαλάσσῃ· φύλλα ἔχει ὅμοια πυκνοτέρω· πλα-
τύτερα μέντοι καὶ περιφερέστερα· καὶ ἁπαλότερα
καὶ λεῖα· οὐ πολύνευρα καθάπερ ἐκεῖνα· καυλὸν δέ ἐστι σπι-
θαμιαῖον, ἄνωθεν ἐσχισμένον· ταύτης ἱστόρηται
τὸ ἄνθος ὅτι παρόμοιον ἐστὶ τῷ ἡλιοτροπίου, τρὶς
τῆς ἡμέρας μεταβάλλειν χρῶμα· ἄνωθεν λευκόν· μεσημ-
βρίας πορφυρίζον· δείλης, φοινικοῦν· ῥίζα δὲ
λευκή· εὐώδης· θερμαντικὴ γευομένῳ· ἧς πινομένης
ἐν οἴνῳ Ζ δυοῖν πλῆθος κατὰ κοιλίαν ὕδωρ ἄγει καὶ
οὖρα· τάμνεται δὲ καὶ εἰς ἀλεξιφάρμακον:~

Περὶ τριφύλλου

Τρίφυλλον· οἱ δὲ, ὀξύφυλλον· οἱ δὲ μηνυανθές· οἱ
δὲ βελτίστον· οἱ δὲ ἀσφάλτιον· οἱ δὲ κνήκιον· ῥω-
μαῖοι τριφολιοῦμ ἀκουτοῦμ· τούτου εἶδος διττόν·
τοῦ μὲν τὸ σπέρμα πλατὺ καὶ ἁλικοειδές· τοῦ δὲ κεραίας
ἔχον καὶ ἁλικοειδές· ἄνθος δὲ ὠχρὸν ἑκάτερον· θά-
μνος ἐστὶ πηχυαῖος, ἢ καὶ μείζων· ῥάβδους ἔχων,
λεπτάς· μακράς· μελαίνας· σχοινώδεις παραφυά-
δας ἐχούσας· ἐφ' ὧν φύλλα ὅμοια λωτῷ· τρία καθ'
ἕκαστον βλαστόν· ὀσμὴ δὲ αὐτῶν ἀρτὶ φυομένων
πηγάνῳ· αὐξηθέντων δὲ, ἀσφάλτῳ· ἄνθος δὲ ἀνε-
μώνης, πορφυροῦν· ἢ μήλινον· σπέρμα, ὑπό-
πλατυ· κυκλόθεν γὰρ κεραίας ἔχων· ὑπόδασυ·
ἐξ ἑνὸς μέρους πέρας τι, κέρας ἔχων· ῥίζα λεπτή·
μακρά· στερεά· βοηθεῖ δὲ τὸ σπέρμα καὶ τὰ φύλλα
πινόμενα ξὺν ὕδατι, ἐπιληπτικοῖς ἀρχομένοις·
ὑδρωπικοῖς· ὑστερικαῖς· ἄγει δὲ καὶ καταμήνια· δίδοσ-
θαι δὲ, τοῦ μὲν σπέρματος, καὶ τῶν φύλλων Ŀ, δ΄·
ποιεῖ δὲ καὶ θηριοδήκτοις σὺν ὀξυμέλιτι τὰ φύλλα
λεῖα πινόμενα· ἱστοροῦσι δέ τινες τὸ ἀφέψημα τῆς ῥίζης
καὶ τῶν φύλλων καταντλούμενον ἀπὸ τῶν ὑπ' ἑρπετῶν δηχθέν-
των, παραιτούμενον τοὺς πόνους· ὡς ἐὰν δὲ θε-
ραπευθῇ τις ἕτερος ἄλλως ἔχων καταντληθῇ, τὰ αὐ-
τὰ ποιεῖ· ὡς καὶ τοῖς δηχθεῖσι ποιοῦσι· τινὲς δ' ἐπὶ
τριταίου, τρία φύλλα, ἢ τρία σπέρματα ἐν οἴνῳ·
ἐπὶ δὲ τοῦ τεταρταίου, τέσσαρα δίδ' ὡς λύου-
σι τὰς περιόδους· μίγνυται δὲ αὐτοῖς ἡ ῥίζα, καὶ
ἀντιδότοις :—

Ἀρχὴ τοῦ υ·

Περὶ ὑπηκόου

Ὑπήκοον· οἱ δέ, ὑπόφαιος καλοῦσι· φύεται δὲ ἐν τοῖς
σίτοις καὶ ταῖς ἀρούραις· φύλλα ἔχων πηγάνῳ ὅμοια·
κλῶνας μικρούς· δύναμιν δὲ ἔχει, ἀνάλογον τούτῳ, τῷ
τῆς μήκωνος ὀπῷ:~

Περὶ ὑοσκυάμου

Ὑοσκύαμος· οἱ δέ, διοσκύαμος· οἱ δὲ πυθώνιον· οἱ
δὲ ἀδάμας· οἱ δὲ ἀδαμένιον· οἱ δὲ ὑπνωτικόν· οἱ δέ,
ἐμμανές· οἱ δὲ ἄτιμος· οἱ δὲ ἰκεράν· οἱ δὲ σκευθιάμ-
βριον· Πυθαγόρας, προφήτης· Ὀσθάνης, ξάλου·
Ζωροάστρης, τρυφώνιον· Ῥωμαῖοι, ἰνσαουστάρια·
οἱ δὲ ἰδιῶται, δαιμονίδραιον αὐτὴν ὀνομάζουσιν·
οἱ δὲ ἀπολινάρις· προφῆται, ἐραπουτίκη· Αἰγύπτι-
οι σαφθώ· Γάλλοι, βελινουντίαν· Θοῦσκοι, φα-
βουλονίαν· Δᾶκοι, διέλλιναν· θάμνος ἐστὶ καυ-
λοὺς ἀνιεὶς παχεῖς· φύλλα πλατέα· ὑπομήκη· ἐσχισ-
μένα· μέλανα· δασέα· παρὰ δὲ τὸν καυλὸν ἐφεξῆς
πεφύκασιν ὥσπερ ῥόαι, κύτινοι, πεφραγμένοι,
σπέρματος ὡς παρ μήκωνος· ἔστι δὲ αὐτοῦ διαφορὰ
διττή· ὁ μὲν γὰρ ἄνθη ὑποπόρφυρα φέρει· φύ-
λλα δὲ σμίλακι ὅμοια· σπέρμα, μέλαν· καὶ τοὺς
κυτίνους, σκληροὺς καὶ ἀκανθώδεις· ὁ δὲ τὰ ἄνθη
μηλοειδῆ· φύλλα δὲ καὶ βολβοὺς, ἁπαλωτέρους·
σπέρμα ὑπόξανθον ὥσπερ ἐρύσιμον· ἀμφότεροι
δὲ οὗτοι, μανιώδεις ὑπάρχουσι, καὶ ὑδροπτικοῖς
δυσάρεστοι· εἰς δὲ θεραπείαν εὔχρηστοι· ἠπιότερ
ὁ τρίτος· λιπαρὸς καὶ ἁπαλὸς καὶ χνοώδης· ἄνθη
λευκὰ ἔχων καὶ τὸ σπέρμα λευκόν· φύεται παρὰ
θαλάττῃ καὶ ἐρείποις· εἰ δὲ μὴ παρείη οὗτος, χρῶ

δὲ τῷ ξανθῷ· τοῦ δὲ μέλανα, ἀπὸ ποσοῦ καὶ μαραθαίου.
χυλίζεται δὲ ὁ καυλὸς ἁπαλὸς καὶ τὰ φύλλα καὶ οἱ καυ-
λοί, κοπτόμενοι· ἐν ἡλίῳ δὲ ξηραινομένου τοῦ ὑγροῦ.
χρῆσις δὲ αὐτοῦ πρὸς ἐνιαυτόν, διὰ τὸ εὔσηπτον. χυ-
λίζεται δὲ τὸ σπέρμα κατ' ἰδίαν κοπτόμενον ξηρόν, ὕ-
δατος θερμοῦ παραχεομένου καὶ ἐκθλιβομένου. ἄ-
μεινον δὲ ἐμβαλεῖν τοῦ ὀποῦ τὸ χύλισμα καὶ ἀνωδυνώτερον.
ἡ δὲ χλόη κοπτομένη [illegible] μετὰ σιτανίῳ, ἀναπλάσσεται
εἰς τροχίσκους. ἁρμόζει δὲ τὸ πρῶτον χύλισμα καὶ τὸ
ἀπὸ ξηροῦ τοῦ σπέρματος εἰς κολλύρια ἀνώδυνα· καὶ
πρὸς ῥεῦμα δριμὺ καὶ θερμόν· καὶ ὠταλγίας· καὶ τὰ
περὶ ὑστέραν· σὺν ἀλεύροις καὶ ἀλφίτῳ, πρὸς τὰς ὀ-
φθαλμῶν φλεγμονὰς καὶ ποδῶν καὶ τὰς ἄλλας. τὸ δὲ
σπέρμα ταὐτὰ παρέχει· ποιοῦν καὶ πρὸς βῆχας.
καὶ κατάρρους· καὶ ῥεῦμα ὀφθαλμῶν· καὶ περιωδυ-
νίας· πρὸς τὰς ῥοῦς γυναικείους, καὶ τὰς ἄλλας αἱμορραγίας,
ὅσον ὀβολὸς σὺν μήκωνος σπέρματι· σὺν μελικρά-
τῳ δὲ ποθὲν τὸ σπέρμα ἁρμόζει πρὸς ποδάγραν· ὄρ-
χεις φυσωμένους· μαστοὺς ἐν τοκετῷ ἐπαιρομέν-
ους λεῖον καταπλασσόμενον· καὶ εἰς τὰ ἄλλα ἀνώδυνα
καταπλάσματα μίγνυται ὠφελίμως· καὶ τὰ ἀνα-
πλασμένα φύλλα εἰς πάντα ἀνώδυνα καταπλάσμα-
τα, εὐχρήστως· μιγνυμένων μετὰ ἀλφίτων, καὶ
καθ' αὑτά. τὰ δὲ πρόσφατα φύλλα λεῖα καταπλα-
σθέντα, ἀνωδυνίαν πρὸς πάντα ποιεῖ. τρεῖς δὲ ἢ
τέτταρες ποθέντα σὺν οἴνῳ, ἠπιάλους πυρετοὺς
θεραπεύει· ἑψηθέντα δὲ ὡς λάχανα καὶ βρωθέντα
τρυβλίου πλῆθος, μετρίαν παράνοιαν ἐργάζεται.
ἴσησι δὲ αὐτίκα ἐάν τις ἄλλως ἀχώριστον κόλπῳ ἐὰν
κηλύσσοι ταῦτα ἐργάζεται. ἡ δὲ ῥίζα μετὰ ὄξους ἀπο-

ἡ ῥίζα ὠκίμου εἰς περιαπτομένη
μητρῷ γυναικῶν· καὶ τὸ
σπέρμα τῆς ὑοσκυ-
άμου, ὑποκάπνισ-
μα ὀδονταλγοῖς.

θεῖσα, ὀδονταλγίας ἐστὶ διάκλυσμα :~

περὶ ὑδροπεπέρεως

Ὑδροπέπερι· φύεται μὲν μάλιστα παρὰ στασίμοις
ὕδασιν ἢ ἀπιεκκάσι ῥεέθροις· καυλοῦ δὲ ἀνίησι γονα-
τώδη περὶ οὗ μασχάλη καὶ φύλλα ἔχει λιβανωτίδι ὅ-
μοια· λαπότερα μέντοι καὶ τὰ χαμαιμήλων· δριμύ-
τητα δὲ ὡς πέπερι· ὀσμὴν ἀρωματίζουσα· καρπὸν
ἔχει ἐπὶ τῶν κλωναρίων μικρόν· ἐκφυόμενον παρὰ
τὰ φύλλα συνεχῆ· καὶ βοτρυώδη· δριμὺν καὶ αὐτόν·
δύναται δὲ τὰ φύλλα σὺν τῷ καρπῷ καταπλασσό-
μενα, οἰδήματα καὶ χρονίους σκληρίας διαφορεῖν·
ὑπώπιά τε ἀφορᾷ· ξηρανθέντα τε καὶ κοπέντα,
μίγνυται δὲ τοῖς πεπέρεως ἁλσὶ προσοψήμασιν· ῥί-
ζαν δὲ ἔχει μικράν· ἄχρηστον :~

περὶ ὑπογλώσσου

Ὑπόγλωσσον· οἱ δὲ καὶ τοῦτο αὐτὸ ῥινοῦ καλοῦσιν· οἱ δὲ ἀ-
ζυγον· οἱ δὲ καὶ ταύτην λυχνιάδα ἀγρίαν καλοῦσιν·
ἡ ῥίζα αὐτῆς τὸ καὶ ὅς ἐστι ~~περια πολλὰ μικρὰ γυμνασικὰ~~
καὶ τὸ σπέρμα ~~θαμνίσκος ἐστί~~· μυρσίνη ἀγρία καὶ λεπτῇ
τὰ φύλλα ὅμοια· κώμην δὲ ἀκανθώδη ἔχει· καὶ ἐπὶ ἄ-
κρου δέ, ὡς περὶ γλωσσίδια παραφύσεις μικρὰς πέ-
ρα τοῖς φύλλοις· συνεχεῖ δὲ ἡ κόμη, περίαμμα ἕνεκα χρή-
σιμον καταλλάττουσι· μίγνυται δὲ καὶ εἰς μαλάγματα :~

περὶ ὑποφαέστου

Ὑποφαίστου· οἱ δὲ ἱπποφαὲς καὶ τοῦτο καλοῦσιν· φύ-
εται μὲν ἐν τοῖς αὐτοῖς τόποις, ἐν οἷς καὶ τὸ ἱπποφαές·
καὶ αὐτὸ γναφικῆς ἀκάνθης εἶδος ὑπάρχον· ἔστι δὲ
χαμαιπετές· κεφάλια ὅμοια ἔχων· καυλία καὶ
φυλλάρια μικρὰ ἀκανθώδη· οὐ τὰ δὲ καυλοῦ τὰ αὐ-
θὸς φέρει· ῥίζαν δὲ παχεῖαν μαλακήν· ταύτης τὸ

φύλλα καὶ τὴν κεφαλὴν ξηράνασα καὶ δίδου ὁλκὴν μετὰ τὲ
μελικράτου ἀφρῶν βουλεῖ· καὶ ἰδίᾳ τούτου κατάθαρσις,
ὕδωρ καὶ φλέγμα ἄγει· ἰδίως δὲ, ὀρθοπνοϊκοῖς ἁρ-
μόζει· καὶ ἀπληξίας καὶ τοῖς περὶ νεῦρα πάθεσιν:~

περὶ ὑποκυστίδος·

Ὑποκυστὶς· οἱ δὲ λιόβριον· οἱ δὲ ὑποκιστίς· οἱ δὲ ὀρό-
βαθρον· οἱ δὲ κυτίνον· οἱ δὲ κίστινον ἄφυλλον· οἱ δὲ
οὔρσιον· οἱ δὲ θορυβιώτερον· οἱ δὲ ὀροβιθέρον· φύ-
εται δὲ παρὰ τὰς ῥίζας τοῦ κιστάρου ἡ καλουμένη ὑπο-
κιστίς· ἡ μὲν τις κιρρὰ πόα, ἄφυλλος· οἱ δὲ, χλωρὰ·
ὁμοίως ἀμφαχυλίζουσαι ὡς περὶ ἀκακία· ξύλα δὲ
ξηραίνονται αὐτὴν βρύχουσι· καὶ θλάσαντες αὐτοῦ-
σι· καὶ τὰ ἄλλα ποιοῦσιν ὡς ἐπὶ τοῦ λυκίου· δύναμιν
δὲ ἔχει τὴν αὐτὴν, τῇ ἀκακίᾳ· στυπτικωτέραν τε καὶ ξη-
ραντικωτέραν· ποιοῦσα πρὸς κοιλιακοὺς· δυσεντε-
ρικοὺς· αἱμοπτοϊκοὺς πινομένη· καὶ πρὸς ῥοώδεις γυναι-
κῶν:~

περὶ ὑπερικοῦ

Ὑπερικὸν· οἱ δὲ κόρις· οἱ δὲ ἄσκυρον· οἱ δὲ ἀσκυροειδές·
οἱ δὲ, ἀνδρόσαιμον· καὶ τοῦτο δὲ θάμνος ἐστὶν ὑπερικοῦ δια-
φέρον κλωσί· φρυγανώδης δέ ἐστι δὲ καὶ πεφοινιγμένον·
τοῖς φύλλοις λεπτοῖς· ὁμοίοις λιβανωτίδι· ἄνθη μή-
λινα· καρπὸν δὲ, ὅμοιον ὑπερικῷ· σχῆμα κυτινοειδὲς·
πλὴν μικρὸν· ὄζον τερεβινθίνης καὶ οἷον αἱμάσσον τὰς τοὺς
δακτύλους τὸ σπέρμα· ὡς τινὰς διὰ τοῦτο, αὐτὸ ἀνδρόσαι-
μον καλοῦσι· ποιεῖ δὲ καὶ τούτου ὁ καρπὸς, πρὸς ἰσχιαδι-
κοὺς πινόμενος μετὰ ὑδρομέλιτος, κοτύλων δύο·
ἐξάγει δὲ χολώδη καὶ κόπρια πολλά· συνεχῶς δὲ διδό-
μενος, ὡς χρείασιν ποιεῖ ὑγιαίνουσιν· ποιεῖ καὶ πρὸς
πυρίκαυστα ἐπιπλασθεὶς:~

περὶ ὑακίνθου

ἀκίνθος· οἱ δὲ πορφυρανθές· οἱ δὲ ζιωνυκ· ῥωμαῖοι, βακκινοῦμ· φύλλα ἔχει ὅμοια βολβῷ· καυλὸν σπιθαμιαῖον· λεῖον· λεπτότερον μικροῦ δακτύλου· κόμην ἐπικεκαμμένην κυρτήν· ἄνθος πλειόνων πορφυροῦν καὶ ἀστροειδοῦς· ῥίζαν ἔχει αὐτήν, ἐμφερῆ βολβῷ· ἥτις σὺν οἴνῳ καταπλασθεῖσα ἐπὶ παίδων, ἀνήβους τηρεῖν πεπίστευται· ἵστησι δὲ καὶ κοιλίαν· καὶ οὖρα ἄγει ποθεῖσα· καὶ φαλαγγιοδήκτοις ὠφελεῖ· ὁ δὲ καρπὸς στυπτικὸς ὤν· τοὺς κοιλιακοὺς ὠφελεῖ· καὶ ἴκτερον ἀποκαθαίρει σὺν οἴνῳ πινόμενος :-

⁘ περὶ ὑσσώπου ⁘

Ὕσσωπον· ῥωμαῖοι, ὑσσῶπουμ· οἱ δὲ λάτυρον· οἱ δὲ κασσίαλα· αἰγύπτιοι, σαέμ· πόα γνώριμος· δισσή· ἡ μὲν γάρ τις ἐστὶν ὀρεινή· ἡ δέ, κηπευτή· ἀρίστη δὲ ἡ ἐν κιλικίᾳ· δύναμιν δὲ ἔχουσα, θερμαντικήν· ἀφεψηθεῖσα δὲ μετὰ σύκων καὶ ὕδατος καὶ πηγάνου πινομένη καὶ ἀρήγει πνευμονικοῖς· ἀσθματικοῖς· βηχὶ χρονίᾳ· κατάρρῳ· ὀρθοπνοίᾳ· κτείνει δὲ καὶ ἕλμινθας· καὶ σὺν μέλιτι δὲ ἐκλειχθεῖσα, τὰ αὐτὰ ποιεῖ· ἄγει δὲ καὶ πάχος κατὰ κοιλίαν τὸ ἀφέψημα αὐτῆς, σὺν ὀξυμέλιτι πινόμενον· βιβρώσκεται δὲ καὶ μετὰ χλωρῶν σύκων λείων πρὸς ὑπαγωγὴν κοιλίας· σφοδρότερον δὲ καθαίρει μιγέντος αὐτῇ, καρδαμώμου, ἢ ἴρεως· ἢ ἐρυσίμου· ποιεῖ δὲ καὶ εὔχροιαν· καταπλάττεται δὲ μετὰ σύκου καὶ νίτρου, πρὸς σπλῆνα καὶ ὕδρωπας· σὺν οἴνῳ δὲ καὶ φλεγμονὰς διαφορεῖ· καὶ ὑπώπια σὺν ὕδατι ζεστῷ καταπλασθεῖσα· συναγχικῶν τε ἄριστον γαργάρισμα μετὰ σύκων ἀφεψήματος, ἄριστον· ὀδόντων τε πόνων πραΰνει σὺν ὄξει ἀφεψηθεῖσα καὶ διακλυζομένη· λύει δὲ καὶ τὰς περὶ τὰ ὦτα ἐμπνευματώσεις, σὺν α

τμια θά σα· ~

Ἀρχὴ τοῦ Φ

περὶ φυσαλλίδος

Φυσαλλίς· οἱ δὲ στρύχνον· οἱ δὲ, ἁλικάκκαβον· ῥωμαῖοι, βισικάλις· ἄφροι σουσιμαρύας· φύλλοις ἐστὶν ὅμοιον τῷ κηπαίῳ στρύχνῳ· πλατυτέροις μέντοι· κοινῶς χαμαικέρασον· ἄλλοι τῆς καλλῆς ὥρας τὰ μῆλα· καυλοὺς δὲ αὐτοῦ μετὰ τὸ αὐξηθῆναι χαμαικλινεῖς· καὶ σπερματικὸν ὅμοιως τοῖς φύσαις πυρρόν· περιφερῆ· λεῖον ὡς ῥᾶγας σταφυλῆς· ᾧ καὶ οἱ στεφανηπλόκοι χρῶνται κατὰ πλέκοντες· δύναμιν δὲ ἔχει καὶ χρῆσιν τὴν αὐτὴν τῷ προειρημένῳ στρύχνῳ (κηπαίῳ)· χωρὶς τοῦ βιβρώσκεσθαι· δύναται δὲ ὁ καρπὸς αὐτοῦ χυλισθεὶς, ἴκτερον ἀποκαθαίρειν· οὐρητικὸς ὤν· χυλίζεται ἡ πόα καὶ ξηραίνεται ὁ χυλὸς πρὸς ἀπόθεσιν· ποιεῖ δὲ πρὸς τὰ αὐτὰ τῷ καρπῷ: —

περὶ φλόμου

Φλόμος· οἱ δὲ φλόνου· οἱ δὲ, φιλλόνου· οἱ δὲ, φοῦσσου· οἱ δὲ φηρίχναλαν· ῥωμαῖοι, βαρβασκουλουμ· φλόμος ἄγριος· οἱ δὲ λυχνῖτις· οἱ δὲ θρυαλλίς· οἱ δὲ κυνίαν· οἱ δὲ ἀρμοῦ ἐκβόδου· προφῆται, κηρύκιον· ῥωμαῖοι, φουλουσουλουμ· αἰγύπτιοι, ἀθλὰ· διαφόρος· ἔστιν μὲν δύο τὰ τὴν διαφορὰν ἔχει· ἡ μὲν γάρ τοι ἐστὶν αὐτῆς λευκοτέρα· ἡ δὲ, μέλαινα· καὶ τῆς λευκῆς ἡ μὲν, θήλεια· ἡ δὲ ἄρρην· τῆς μὲν οὖν θηλείας τὰ φύλλα, παραπλήσια κράμβης· δασύτερα δὲ πολλῷ καὶ πλατύτερα καὶ λευκά· καυλὸς πηχιαῖος ἢ καὶ μείζων· λευκὸς ὑπόδασυς· ἄνθη λευκὰ ἢ ὑπωχρα· σπέρμα μέλαν· ῥίζα δὲ μακρά· στρυφνὴ πα-

χος ἔχουσα δακτύλου· φύεται δὲ ἐν πεδίοις. ἡ δὲ
ἄρρεν καλουμένη· λευκόφυλλος καὶ τῷ καυλῷ λεπτο-
τέρα. ἡ δὲ μέλαινα, ὅμοια ταῖς λευκαῖς κατὰ πάν-
τα· πλατυφυλλοτέρα μέντοι καὶ μελαντοτέρα τοῖς
φύλλοις καὶ τῷ καυλῷ. ἡ δὲ καλουμένη ἀγρία· ῥάβ-
δους ὑψηλὰς φέρουσα καὶ δενδρώδεις· φύλλα
δὲ ἐλελισφάκῳ ὅμοια· ἔχει δὲ δακτύλους περὶ τὰς
ῥάβδους, ὥσπερ ὀστράκιζον· ἄνθος, χρυσομηλίνου·
εἰσὶ δὲ φλομίδες διπλαῖ· δασεῖαι· προσφυεῖ· στρο-
γγύλα ἔχουσαι τὰ φύλλα· καὶ τρίτη φλομίς, ἡ καλου-
μένη λυχνῖτις, ὑπὸ δὲ ἐνίων θρυαλλίς· φύλλα πλείου
ἔχουσα· παχέα· λιπαρά· δασέα· εἰς ἐλλύχνια χρη-
σίμη· τῶν μὲν οὖν πρώτων δύο αἱ ῥίζαι στυπτι-
καί· ὅθεν διαρροιζομένοις ὅσον ἀστράγαλος σὺν οἴνῳ
ὠφέλιμος ἐν ποτῷ· δίδοται δὲ τὸ ἀφέψημα αὐτῆς,
ῥήγμασι καὶ σπάσμασι καὶ θλάσμασι καὶ βηξὶ παλαι-
αῖς ἀρήγει· ὀδονταλγίας τε ἁρμόζει διακλυζομένη.
ἡ δὲ χρυσοειδὴς τὰ ἄνθη, σίλφας συνάγει· τὰ δὲ φύ-
λλα ἑφθὰ ἐν ὕδατι πρὸς οἰδήματα· ὀφθαλμῶν
φλεγμονὰς καὶ καταπλάσματα καὶ σφακελίζοντα ἕλ-
κη, σὺν μέλιτι ἢ οἴνῳ· σὺν δὲ ὄξει, τραύματα θερα-
πεύει· καὶ σκορπιοπλήκτοις βοηθεῖ· τὰ δὲ τῆς ἀγρίας
φύλλα, πυρικαύτων ἐστὶ καταπλάσματα· τὰ δὲ τῆς
θηλείας φύλλα φασί, μετὰ σύκων ξηρῶν συντιθέ-
μενα ἄσηπτα αὐτὰ φυλάττει:~

περὶ φυτεύματος

Φύτευμα· οἱ δὲ ἀσφρώδης· ῥωμαῖοι, ἀπλουμάρου· φύλλα
ἔχει ὅμοια στρουθίῳ· μικρότερα δέ· καὶ καρπὸν πολὺν τε-
τρημένον· ῥίζαν μακράν· διπλῆν· ἐπιπόλαιον· ταύ-
την δὲ ἀνέγραψαν ἐπιτήδειαν πρὸς φίλτρον:~

Περὶ φαληρίου

Φαλήριον· καυλία δὲ ὑπάρχει ἐκ ῥιζῶν λεπτῶν πολλῶν· μικρά· γονατώδη· καλαμοειδῆ· ἐοικότα τοῖς τῆς ζειᾶς· ἰσχνότερα μέντοι καὶ γλυκέα τῇ γεύσει· καὶ τὰ φύλλα δέ, ὅμοια τοῖς τῆς ζειᾶς· σπέρμα δὲ ἔπεστι, μέγεθος κέγχρου· λευκόν· ὑπόμηκες· δύναμιν δὲ ἔχει ἡ πόα κοπτομένη καὶ χυλιζομένη δι' ὕδατος, ποιεῖν, πρὸς τὰ τῆς κύστεως ἀλγήματα· καὶ τοῦ σπέρματος δὲ ἅμα μεθ' ὕδατος κοχλιαρίου πλῆθος πινόμενον, πρὸς ταῦτα ποιεῖ:–

Περὶ φοίνικος

Φοῖνιξ· οἱ δέ, ἐρῶν· οἱ δέ, αἰγίλωψ· οἱ δὲ φοινικόπτερος· οἱ δὲ ἐρυσοστάχυος· οἱ δὲ ὀφθάλμη· ῥωμαῖοι, πολολουκουτινουλα· αἰγύπτιοι ἄθυου· τὰ μὲν φύλλα ἔχει ὅμοια κριθῇ· βραχύτερα δὲ καὶ στενότερα· στάχυν δὲ ἐμφερῆ αἴραις· κλῶνας δὲ ἐξ δακτύλου κύκλῳ τῆς ῥίζης· καὶ στάχυας ἐπ' ἄκρου· φύεται δὲ ἐν ταῖς ἀρούραις καὶ ἐπὶ τῶν στεγῶν τῶν καινοκατεχρίστων· δύναμιν δὲ ἔχει πινόμενος σὺν οἴνῳ αὐστηρῷ· διάρροιαν καὶ αἱμορραγίαν τῆς ἐκ μήτρας· καὶ ῥοῦν κατὰ πάσχοντα πλάδους φορεῖν ἱστᾶν· ἱστοροῦσι δέ τινες καὶ ἴσχαιμον αὐτὴν εἶναι, ἐνδεδεμένην φοινικῷ ἐρίῳ, καὶ περιαπτομένην:–

Περὶ φακοῦ

Φακός· ῥωμαῖοι λέντεμ· οἱ δὲ λεντίκλαμ· συνεχῶς ἐσθιόμενος, ἀμβλυωπής· δύσπεπτος· κακοστόμαχος· πνευματωτικὸς στομάχου καὶ ἐντέρων· κοιλίας δὲ μαλακτικός, σὺν τῷ λέπει ἀφεψόμενος· διαφέρει δὲ αὐτοῦ ὁ εὐέψανος καὶ μηδὲν μέλαν ἀνιεὶς ἐν τῷ βρέχεσθαι· δύναμιν δὲ ἔχει στυπτικήν· ὅθεν κοιλίαν ἵστησι, πρὸς δ' ἀποπαπτισθεὶς καὶ ἀφαιρεθεὶς ἐπιμελῶς· τοῦ πρώτου ἐν τῷ

ἀφέψηθεν ὕδατος ἀποχυθέντος· λύπει γὰρ κοιλίαν τὸ
ἀφέψημα· ἄγει δὲ αὐτὸ οὐδὲν ἧσσον· ἑψηθεὶς πρὸς τὴν να-
ρώδη καὶ πτισμένον καὶ καφαλλῶν· βελτίων δὲ τοῖς του-
ἄρτου ἀποτελεῖ πρὸς τὰ ῥεύματα τῆς κοιλίας, μετὰ γὰρ
ἰσάτου· σιέρεως· ἢ κιχωρίου· ἢ ἀρνογλώσσου· ἢ
ἀνδράχνης· ἢ σεύτλου μέλανος· ἢ μύρτων ἢ σιδίων·
ἢ ὄων ξηρῶν· τινὲς δὲ οὔων γράφουσι καὶ οὔβων· ἢ με-
σπίλων· ἢ κυδωνίων· ἢ ἀπίων θηβαϊκῶν· ἢ κικίδος
ὁλοκλήρων· ἅστινας μετὰ τὴν ἕψησιν ἐξαιροῦνται· ἢ ῥό-
ος τοῦ ἐπὶ τὰ ὄψα· δεῖ δὲ τὸ ὄξος συνεψηθέν αὐτῷ
ἐπιμελῶς· δεῖ δὲ μὴ παραιτεῖν τὴν κοιλίαν· καὶ ἀνατρο-
πὴν δὲ στομάχου περιλαμβάνει λ' φακοὶ καὶ κατα-
ποθέντες ὠφελοῦσι· παρηγορεῖ δὲ καὶ ποδάγρας,
σὺν ἀλφίτῳ ἑψηθεὶς καταπλασθείς· μετὰ δὲ μέλι-
τος, κόλπους κολλᾷ· ἐσχάρας περιρρήσσει· ἕλκη ἀ-
νακαθαίρει· σὺν ὄξει δὲ ἑψηθεὶς, σκληρώματα καὶ
χοιράδας διαφορεῖ· σὺν μελιλώτῳ δὲ ἢ κυδωνίῳ
ὀφθαλμῶν φλεγμονὰς καὶ δακτυλίων θεραπεύει,
ῥοδίνου μισγομένου· ἐπὶ δὲ τῶν μειζόνων περὶ τὸν
δακτύλιον φλεγμονῶν καὶ κόλπων μεγάλων· σὺν σιδί-
οις καὶ ῥόδοις ἑψόμενος μισγομένου καὶ μέλιτος, πρὸς
νομὰς γαγγραινικὰς ὁμοίως· ἢ καὶ θαλάσσης προσ-
μισγομένων· πρὸς δὲ φλυκταίνας καὶ ἕρπητας καὶ
ἄρτοι παλαιοὶ καὶ χιμέθλας ὡς προείρηται· πρὸς
δὲ χονδριῶντας μαστοὺς καὶ σπαργουμένους, ἑψόμενος
ἐν θαλάττῃ, ἁρμόζει καταπλασθείς :—

⁘ περὶ φακοῦ τοῦ ἐπὶ τῶν τελμάτων ⁘

Φακὸς ὁ ἐπὶ τῶν τελμάτων· οἱ δὲ φακὸς ἄγριος· οἱ δὲ ἐ-
πίπυρον· ῥωμαῖοι, βιπαραλίς· εὑρίσκεται
ἐπὶ τῶν στασίμων ὑδάτων, βρύον ὅμοιον φακῷ· τὸ

χων τῆς δυνάμεως· ὅθεν πλάσσεται ταῖς φλεγμοναῖς καὶ ἐρυσιπέλασι καὶ ποδάγραις ἁρμόζει, καταπλασσόμενον σὺν ἀλφίτῳ· παραπλασσόμενα δὲ καὶ ἐντεροκήλας τὰς ἐπὶ παίδων :-

περὶ φυλλίτιδος

Φυλλῖτις· οἱ δὲ φυλλίς· οἱ δὲ, ἄκαυλον· οἱ δὲ λαπάθιον ἄγριον καλοῦσιν· κοινῶς σκολοπένδριον· φύλλα ἀνίησιν ὅμοια μαγδάλω λαπάθω· ἐπιμηκέστερα· ἀθαλῆ· στερεά· ς´ ἢ ζ´· λεῖα ἔνωθεν· ἐκ δὲ τῶν ὄπισθεν, καθάπερ, σκώληκας ἰδίᾳ πτερούς ἔχοντα κλιτπούς· φύεται ἐν παλινσκίοις καὶ παραδείσοις· γεῦσιν στρυφνὴν ἔχων· οὔτε δὲ καυλόν· οὔτε καρπόν· οὔτε ἄνθος φέρει· ταύτης τὰ φύλλα μετ᾽ οἴνου πινόμενα πρὸς ἑρπετῶν δήγματα ποιεῖ· ἐπὶ τετραπόδων τοῖς δήγμασιν ἐγχυματισθέντα, βοηθεῖ· πίνεται δὲ καὶ πρὸς δυσεντερίαν καὶ διάρροιαν :-

περὶ φαλαγγίου

Φαλάγγιον· οἱ δὲ καὶ ταύτην λευκάκανθαν καλοῦσι· κλάδους ἀπὸ δύο ἢ τρεῖς· ἢ πλείονας· διεστῶτας ἀπ᾽ ἀλλήλων· ἄνθη λευκὰ παραπλήσια κρίνω ἔντομα· σπέρμα δὲ παχύ· μέλαν ὡς περ φακοῦ ἥμισυ· ἰσχνότερον μέντοι πολύ· ῥίζιον λεπτόν· χλωρόν· ἅμα τῷ ἐξαυανθῆναι ἐκ τῆς γῆς ξηροῦ συνάρχονται· φύεται ἐν γεωλόφοις· ταύτης τὰ φύλλα καὶ τὸ σπέρμα καὶ τὸ ἄνθος πινόμενα μετ᾽ οἴνου βοηθεῖ σκορπιοπλήκτοις καὶ φαλαγγιοδήκτοις· λύει δὲ καὶ στρόφους :-

περὶ φύλλου

Φύλλον· οἱ δὲ ἐλαιόφυλλον· οἱ δὲ, βρυωνὶ καλοῦσιν· φύεται ἐν πέτραις· τὸ μὲν θηλύγονον λεγόμενον, ὥσπερ βρυόν ἔχον χλωρότερον ἐλαίας τὰ φύλλα· καυλόν, λεπτόν· βραχύ· ῥίζαν λεπτήν· ἄνθος λευ

κὸν καὶ λεπτοῦ καὶ σταχοειδοῦς· καρπὸν μείζονα ὡς πυρ-
ήκωνος· τὸ δὲ ἀρρενόγονον· τὰ ἄλλα ὅμοια τῷ προ-
ειρημένῳ μόνῳ καρπῷ διαφέρει· ἔχει γὰρ ὅμοιον ἀρ-
τι αὐξομένῃ θήκῃ ἂν μηλαία βοτρυώδη· λέγεται δὲ
τὸ ἀρρενόγονον ποθέν, ἀρσενοτοκεῖν ποιεῖν· τὸ δὲ
θηλύγονον, θηλυτοκεῖν· ἱστορεῖ περὶ τούτων κρα-
τεύας· ἐμοὶ δὲ δοκεῖ τὰ τοιαῦτα, μέχρι ἱστορίας
προάγειν:~
φασίολος· φυσώδης· γεννητικὸς πνευμάτων· δύσ-
πεπτος· πρὸς δὲ ἐμετικοὺς, [illegible]:~

ἀρχὴ τοῦ Χ·

περὶ χρυσοκόμης

Χρυσοκόμη ἢ χρυσῖτις· οἱ δὲ χρυσάνθεμον· οἱ δὲ ἀ-
μάραντον· οἱ δὲ δῖος πώγων· ῥωμαῖοι, ἰοβισβάρ-
βα· ῥαβδία ὡς σπιθαμιαῖα ϛ' ἢ ζ'· ἔχοντα ἐν μὲν τοῖς
ἄνθη μήλινα μεγάλα καὶ φύλλα· φυλλάδια μικρὰ
πλήρη τὰ ῥαβδία αὐτῆς ῥίζης· ῥίζαν δασεῖαν λεπτὴν·
ὡς ἂν λευκοβόρου μέλανος· γευσαμένῳ, οὐκ ἀπηνῆ· καὶ
πάριασου· ποιοῦσαν ἐν τῷ κλύειν ὑπαυστηρόν· φύ-
εται δὲ ἐν παλισκίοις καὶ πετρώδεσι· δύναμιν ἔχει,
θερμαντικὴν· στυπτικήν· ἡπατικοῖς δὲ καὶ περι-
πνευμονικοῖς ἁρμόζει, λαμβανομένη σὺν ὑδρομέλιτι·
ἀφεψηθεῖσα καὶ εἰς ἀνακάθαρσιν ὑστέρας:~

περὶ χρυσανθέμου

Χρυσάνθεμον ἢ χάλκας· οἱ δὲ, χαλκῖτιν· οἱ δὲ, χαλ-
κάνθου· οἱ δὲ χαλκάνθεμον· οἱ δὲ βούφθαλμον·
ῥωμαῖοι, ἀκάλαλθα· τρυφυραῖτις πόα· θαμνώ-
δης· κλάδους ἀναφέρουσα κακαυλοὺς· καὶ φύλλα δὲ περιε-
χισμένα· ὅμοια ὀρθῇ παρισαρῷ· ἄνθη μήλινα ἰσχυρῶς

σιλβοῦντα· καὶ ὀφθαλμοειδῶς κυκλοτερῆ· διὸ καὶ
βούφθαλμον ὠνόμασθαι· φύεται δὲ περὶ τὰς πό-
λεις. οἱ καυλοὶ δὲ αὐτῆς λαχανεύονται· τὰ δὲ ἄνθη
αὐτῆς λεῖα μετὰ κηρωτῆς στεατώματα λύει τε καὶ δι-
αφορεῖ· ἰκτερικοὺς δὲ, καὶ προσκαίρως εὐχροεῖν
ποιεῖ, ποθέντα δὲ μετὰ τὴν ἐν τοῖς λουτροῖς ἀπὸ τῆς μα-
κρᾶς ἐξόδου:-

⁘ περὶ χρυσογόνου ⁘

Χρυσόγονον· οἱ δὲ χρυσόσπερμον· οἱ δὲ σάπιν· οἱ
δὲ σάσινον· οἱ δὲ ὀρίγανον· οἱ δὲ ἀρκόφθαλμον· Ῥω-
μαῖοι, ἀγριλάβρια· φύλλα ἔχει ὅμοια δρυΐ· ὁ δὲ θά-
μνος ὡς σπ' πυκνός· ἄνθος δὲ παραπλήσιον τῷ στε-
φανώματι· ῥίζαν ὁμοίαν στρογγύλῃ· ἔσωθεν ἰ-
σχυρῶς ἐρυθράν· ἔξωθεν δὲ μέλαιναν· ἥτις βο-
ηθεῖ σὺν ὀξυκράτῳ ποθεῖσα καὶ ἐπιτεθεῖσα, μυγαλῆς
δήγμασιν:-

⁘ περὶ χρυσανθέμου ⁘

Χρυσάνθεμον· ἢ ἑλίχρυσον· οἱ δὲ, καὶ τοῦτο ἀμάραντον
καλοῦσιν· ᾧ καὶ τοὺς τῶν ἀγαλμάτων θεοὺς στεφανοῦσι·
ῥάβδιον, ὀρθὸν· στερεόν· φύλλα στενὰ πολὺ ἀπὸ δια-
στημάτων ἔχον, πρὸς τὰ τοῦ ἀβροτόνου· κόμην κυ-
κλοτερῆ· σὺν ἀκτῖσι χρυσοφανῆ· περιφερῆ ὡς περὶ
κόρυμβοι ξηροί· ῥίζα λεπτή· φύεται ἐν τραχέσι
τόποις καὶ χαραδρώδεσι· βοηθεῖ δὲ ἡ κόμη σὺν οἴ-
νῳ ποθεῖσα, δυσουρίαις καὶ ἑρπετῶν δήγμασι· καὶ
ἰσχιάσι· καὶ ῥήγμασιν· ἄγει δὲ καὶ ἔμμηνα καὶ θρόμβους
αἵματος τοὺς ἐν κύστει διατήκει, σὺν οἴνῳ ἢ οἰνομέ-
λιτι πινομένη· ἴσχει δὲ καὶ κατάρρουν ὅσον ἀπὶ νῆστει
ποθεῖσα ἐν κράματι οἴνου λευκοῦ· συντίθεται δὲ
καὶ μετὰ ἱματίων, πρὸς τὸ ἄβρωτα τηρῆσαι αὐτά:-

⁘ περὶ χελιδονίου ⁘

Χελιδόνιον· οἱ δὲ χελιδόνι· οἱ δὲ παισονίαν· οἱ δὲ κραταιά·

οἱ δέ, γλαύκιον· οἱ δὲ πάνδιος ῥίζα· οἱ δὲ φιλομή-
διον· οἱ δὲ ὀθώνιον· ῥωμαῖοι, ἄπιου φαβίου· καυ-
λὸν δὲ ἀνίησι πηχυαῖον ἢ μείζονα· ἰσχνόν· ἔχοντα
παραφυάδας φύλλων μεστάς· ὁμοίας βατραχίῳ·
τρυφερώτατα μέντοι καὶ ὑπόγλαυκα τὴν χρόαν· καὶ
παρ' ἕκαστον φύλλον, ἄνθος μήλινον μὲν ὅμοιον τῷ τετρά-
φυλλον· ὥσπερ τοῦ λευκοΐου· χυλὸς κροκώδης.
δριμύς· δηκτικός· πικρός· ὑπόκιρρος καὶ βρομώδης· ὑπόπικρ(ος)
ῥίζαν ἄνωθεν μὲν ὡς μία· κάτωθεν δὲ πλείονες·
κροκοειδὴς τὴν χρόαν· καρπὸς ὥσπερ τῆς κερατί-
τιδος μήκωνος· ταύτης ὁ χυλὸς μετὰ μέλιτος καὶ ἑψη-
θεὶς ἐν χαλκῷ ἐπ' ἀνθράκων, ἁρμόζει πρὸς ὀξυωπίαν·
χυλίζεται δὲ τὰ φύλλα καὶ ἡ ῥίζα· καὶ ὁ χυλὸς ἀρχομέ-
νου θέρους, ξηραίνεται ἐν σκιᾷ καὶ ἀναπλάττεται· ἡ δὲ
ῥίζα πινομένη σὺν οἴνῳ καὶ ὀδονταλγίας δὲ πραΰνει
διαμασωμένη· δοκεῖ δὲ ὀνομάσθαι· ἐπειδήπερ ἅμα
ταῖς χελιδόσι φύεται· λιπούσαις δέ, συναπομαραί-
νεται· τινὲς δὲ ἱστορήκασιν· ὅτι ἂν ἀποτυφλωθῇ τις
τοὺς τῆς χελιδόνος νεοσσούς, αἱ μητέρες προσ-
φέρουσι τὴν πόαν, ἰῶνται τὴν πήρωσιν αὐτῶν:~

Περὶ χελιδονίου τοῦ μικροῦ

Χελιδόνιον τὸ μικρόν· οἱ δὲ πυρεξὸν ἄγριον καλοῦσιν·
βοτάνιον ἐστὶν ἐμφερὲς ... ἄκαυλον· φύ-
λλοις κισσοειδέσι· περιφερεστέροις δὲ καὶ τρυφερω-
τέροις· ὑπολιπέσι· ῥίζας δὲ ἔχει ἀπὸ τοῦ αὐτοῦ μι-
κράς· πολλάς· ὥσπερ πυροὺς συνεσωρευμένας·
πεφυκυῖας παρ' ὕδασιν ἢ τέλμασιν· ἔχει δὲ δυνά-
μιν δριμεῖαν· παραπλησίαν ἀνεμώνῃ· ἔχουσα τὴν
ἐπιφάνειαν· λώρας δὲ καὶ ὄνυχας λεπρούς, ἀφίστη-
σιν· αἱ δὲ ῥίζαι χυλωθεῖσαι, χρήσιμοι εἰσὶν εἰς

ῥινεγχυθεῖσι καταμάλιστα πρὸς κάθαρσιν κεφαλῆς:–

⁘ περὶ χόνδρου ⁘

Χόνδρος· οἱ δὲ δίκοκκον· οἱ δὲ, ζέαν καλοῦσι· ῥωμαῖοι φάρρε· ὁ δὲ χόνδρος γίνεται μὲν, ἐκ τῆς καλουμένης δικόκκου ζέας· τροφιμώτατος ὀρύζης· καὶ σταλτικὸς κοιλίας· εὐστόμαχος δὲ μᾶλλον· ἄγρας δὲ λέπρας ἀφεψηθεὶς σὺν ὄξει καὶ καταχρισθεὶς· λεπροὺς δὲ ὄνυχας ἀφίστησι· καὶ αἰγίλωπια ἀρχόμενα θεραπεύει· ἐγκλύσματα τὸ ἀφέψημα αὐτοῦ, ἐπὶ τοῦ μετὰ αἵματος δυσεντερικῶν, ἄριστον:–

⁘ περὶ χονδρίλης ⁘

Χονδρίλη· οἱ δὲ καὶ ταύτην κιχώρειον ὅμοια· ὅθεν δὲ καὶ τὸ εἶδος· τινὲς δὲ αὐτὸ σερίδα ἀγρίαν· λεπτότερον δὲ ὅλον· περὶ δὲ τοῖς κλωναρίοις αὐτοῖς, εὑρίσκεται κόμμι, ὅμοια μαστίχῃ, κυαμιαῖα τὸ μέγεθος· ἀπαλὰ πρὸς τὰ θερμὰ τὰ σμύρνης σὺν ὀθονίῳ μέγεθος ἐλαίας, ἄγει ἔμμηνα· ἡ δὲ πόα σὺν τῇ ῥίζῃ κοπεῖσα· καὶ ἀνατροχίσκους ἀναπλασθεῖσα μεμιγμένη μέλιτος· οἵτινες διηθέντες, καὶ νίτρῳ μιγέντες, ἀλφοὺς ἀποσμήχουσιν· ἀνακολλῶσι δὲ τρίχας τὸ κόμμι· καὶ ἡ ῥίζα δὲ πρὸς φάτος, τὸ αὐτὸ ποιεῖ· βαπτομένης δὲ αὐτῆς ὑπὸ βελόνης, καὶ προσαγομένης ταῖς θριξίν· ἁρμόζει καὶ πρὸς ἔχεις σὺν οἴνῳ πινομένη· καὶ κοιλίαν ἵστησιν· ὁ χυλὸς αὐτῆς ἀφεψηθεὶς σὺν οἴνῳ· καὶ καθ' αὑτοῦ ποθείς:–

οἱ δὲ σερίδα καλοῦσι· ταύτης φύλλα καὶ καυλοὺς καὶ τὰ ἄνθη, καὶ κιχωρίῳ

⁘ περὶ χαμαισύκης ⁘

Χαμαισύκη· οἱ δὲ σύκιον· οἱ δὲ μήκωνα ἀφρώδη καλοῦσι· ὅμοιον πεπλίῳ καὶ παρωνυχίᾳ· καὶ αὐτὴ δὲ ἄγχει κλῶνας δὲ ἔχει τετραδακτυλιαίους, ἐπὶ γῆς ἐρριμμένους· περιφερεῖς· ὀποῦ μεστούς· φύλλα φακοειδῆ· τῷ πεπλίῳ ὅμοια· μακρά· λεπτά· πρὸς τῇ γῇ·

καρπὸς δὲ ὑπὸ τοῖς φύλλοις στρογγύλος, ὡς πεπλίου·
ἄνθος δὲ οὐκ ἔχει· ῥίζα λεπτή· ἄχρηστος· δύναμιν
δὲ ἔχουσιν οἱ κλῶνες λεανθέντες σὺν οἴνῳ, ταῖς περὶ
μήτραν ὀδυνῶν παύειν σὺν τῷ πεσσοῦ προστιθέντες· κα-
ταπλαττόμενοι δέ, οἰδήματα καὶ ἀκροχορδόνας καὶ
μυρμηκίας αἴρουσιν· ἀφεψηθεῖσαι δὲ ἐσθιόμεναι, κοιλί-
αν λύουσιν· καὶ ὁ ἐξ αὐτῶν δὲ ὀπὸς τὸ αὐτὸ δρᾷ· καὶ
καταχριόμενος σκορπιοπλήκτοις, βοηθεῖ· ἁρμό-
ζει καὶ πρὸς ἀμβλυωπίαν· καὶ πρὸς ἀρχομένας ὑποχύ-
σεις· οὐλάς· ναφέλια σὺν μέλιτι ἐπιχριόμενος· φύ-
εται δὲ ἐν πετρώδεσι καὶ αὐχμηροῖς τόποις.—

περὶ χαμαιδάφνης

χαμαιδάφνη· οἱ δέ, καὶ ταύτην ἀλεξάνδρειαν καλοῦσιν·
οἱ δέ, δαφνῖτις· οἱ δέ, ὑδρογωνός· Ῥωμαῖοι, λαυ-
ρεόλαμ· ῥάβδους ἀφίησι μονοκλώνους· πηχυαίας·
ὀρθάς· λεπτὰς καὶ λείας· καὶ τὰ φύλλα δὲ ὅμοια δάφνῃ·
λειότερα δὲ πολλῷ καὶ χλωρότερα· καρπὸν δὲ περιφε-
ρῆ ἐρυθρόν· τοῖς φύλλοις ἐμπεφυκότα· ταύτης τὰ
φύλλα λεῖα καταπλασσόμενα κεφαλαλγίας καὶ στομά-
χου καύσους σὺν δρήστει· ποθεῖσα δὲ μετ' οἴνου, στρό-
φους παύει· ὁ δὲ χυλὸς σὺν οἴνῳ ποτιζόμενος, κα-
ταμήνια καὶ οὖρα ἄγει· καὶ ἐν πεσσῷ προστιθέμενος, τὸ
αὐτὸ ποιεῖ :~

περὶ χαμαικίσσου

χαμαίκισσος· οἱ δὲ χαμαιλεύκην· οἱ δὲ κισσὸς ἄκαρπος·
οἱ δὲ γῆς στέφανος· οἱ δὲ σελινῖτις· Ῥωμαῖοι, ἄσταρα
πλουβιάτικα· φύλλα ἔχει ὅμοια πυρός· μακρότερα
δὲ καὶ πολλά· ὡς παρεγράφη, φύλλα ἔχει ὅμοια βάλλε
βωτας πρὸς τὸ κατ' ὤμαρος, περιφερὲς ἐπὶ κάρφει καὶ
προβαίνων εἰς ὀξὺ λῆγον· κλωνία ἐκ θάμνου σπα-
ρ' ἐπὶ πλεῖστα φύλλων ἀπὸ τῆς γῆς, ἕως· ἄνθη λευκοῖς

ὅμοια· μικρότερα δὲ καὶ πικρὰ τὴν γεῦσιν ἰσχυρῶς· ῥίζα
λεπτὴ ἄχρηστος· φύεται ἐν ἐργασίμοις χωρίοις·
ἁρμόζει δὲ τὰ φύλλα ἰσχιαδικοῖς, οἷον ἐν ὕδατι κυά-
θοις τρισὶ πινόμενα, ἐπὶ ἡμέρας μ'· καὶ ἰκτερικοὺς δὲ
καθαίρει ὁμοίως πινόμενα· πρὸς σ' ἢ ζ' ἡμέρας:—

περὶ χαμαισάλικης

χαμαισάλικη· οἱ δὲ ἡλιοσάλικη· οἱ δὲ ἀγριοσάλικη· οἱ δὲ
βοϊκή· Ῥωμαῖοι, ἀβουλούμ· κοινῶς ἀλλαβορίδα·
καυλοὺς ἀνίησι τετραγώνους· πολυγονάτους· τὰ δὲ
φύλλα εὐσχιασμάτων, περὶ ἕκαστον γόνυ τετάρσοις
ὅμοια μεγάλης καχραγμένα δὲ κύκλῳ καὶ μακρότερα· βα-
ρύοσμα· σπιλάδιον δὲ παρόμοιον ἀκτῆς καὶ τῷ ἄνθει
καὶ τῷ καρπῷ· ῥίζα δὲ ὕπεστι μακρά· δακτύλου τὸ πάχος·
δύναμις δὲ αὐτῆς καὶ χρῆσις· φυκτική· ὑστρατιωτικός· καὶ
κοστόμαχος· μάλιστα δὲ διακομμένη τὰ φύλλα ὡς λάχανα
καθαίρει φλέγμα καὶ χολήν· καυλοὶ δὲ ἁπαλοὶ ἐν λωπά-
δι ληφθέντες, τὸ αὐτὸ ποιοῦσι· καὶ ἡ ῥίζα δὲ αὐτῆς
ἀφεψηθεῖσα σὺν οἴνῳ καὶ διδομένη περὶ τὴν δυσεντε-
ρίαν· καὶ ἰσχιαδικοῖς ὁμοίως πινομένη περὶ τὴν δυσ-
εντερίαν· ἀφεψηθεῖσα δὲ μεθ' ὕδατος, ὑστερ-
μαλακτεῖ· καὶ αἰδοῖα σομεῖ· καὶ διορθοῦται τὰ περὶ τὴν δυσ-
ένθασιν· καὶ ὄξυμελι πρὸς δὲ σὺν οἴνῳ ποθείς, τὰ αὐτὰ ποιεῖ·
μελαίνει δὲ καὶ τρίχας ἐν ἀποχειρόμενος· τὰ δὲ φύλλα
πρόσφατα καὶ ἁπαλὰ φέρειν πραΰνει σὺν ἀλφίτω, καὶ
καταπλάσμασιν ἁρμόζει καὶ κυνοδήκτοις καταπλασμά-
των λαιδέ καὶ ὑποφορᾶς· καὶ πρὸς ἀγριωθεῖς βοηθήματα
στάσεως τραχεῖς γίνονται καταπλασσόμενα:—

περὶ χαμαίδρυος μικροῦ

χαμαίδρυς μικρός· οἱ δὲ, χαμαίλωψ· οἱ δὲ, δρυΐσ-
κος· οἱ δὲ τεύκριον· Ῥωμαῖοι, τριξαγωνόνος·

φύεται δὲ ἐν τραχέσι τόποις καὶ πετρώδεσι χωρίοις. ἔστι δὲ θαμνίσκος · πορφυροῦς · ἀνθεμιαῖος · μαλωτός · φύλλα ἔχων μικρὰ · τῷ σχήματι καὶ τῇ τραχύτητι δρυῒ ὅμοια · πικρά · ἄνθος ὑποπόρφυρον μικρὸν κυτίνῳ σχήματι · κόμη ἱκανὴ καὶ πλήρης τῶν ἀνθῶν · συνάγεται δὲ αὐτὸ δὲ ἐγκύμονα τοῦ καρποῦ · μηνὶ ἰουνίῳ · δύναμιν ἔχει χλωρὰ ἀφεψηθεῖσα, σὺν ὕδατι καὶ ποτιζομένη, βοηθεῖ σπάσμασι · βηξί · σπληνὶ ἐσκιρρωμένῳ · δυσουροῦσι καὶ ὑστερικοῖς ἐν ἀρχαῖς · ἄγει καὶ ἔμμηνα καὶ ἔμβρυα · σὺν οἴνῳ δὲ πολλαπλασίῳ ἀποτριτωθεῖσα ὑπὸ πόα ὅλη ἐν τῇ ζέσει · καὶ πινομένη σὺν πεπέρι ὀλίγῳ, μάλιστα ὠφελεῖ τοὺς ἔχοντας ἰσχιάδας · ὁ δὲ οἶνος ἄσω αὐστηρός · νῆστις προποτὴ ἐξ οὗ ἐν πινάκω · ποιεῖ δὲ καὶ εἰς πόνους δακτυλίου · σπλῆνα τήκει δέ, σὺν ὄξει ποθεῖσα · πρὸς δὲ τὰ θηρία, σὺν οἴνῳ πινομένη, ἢ καὶ καταπλασσομένη · λεῖα δὲ δεῖται καὶ τὰ κατὰ πόδια ἀναπλάσσεσθαι πρὸς τὰ τε ἡρπασμένα · καὶ ἀνακαθαίρει ἕλκη παλαιὰ σὺν μέλιτι · ἀφαιρεῖ δὲ σὺν ἐλαίῳ λεῖα ἐγχριομένη, ἀχλύας τὰς ἐν ὀφθαλμοῖς · καὶ ἀλειφομένη δὲ ἀντιφαρμακτική :~

※ περὶ χαμαιπίτυος ※

Χαμαιπίτυς · οἱ δὲ πίτυος ὄρειος · οἱ δὲ ὀρόζηλον · οἱ δὲ ὁλόκυρον · οἱ δὲ βρυωνία ἀγρία · οἱ δέ, αἰθήνησιν · οἱ δέ, σιωνίαν · ῥωμαῖοι, κυπράσσου · πόα δὲ ἐστὶν ἕρπουσα ἐπὶ γῆς ὑπόκυρτος · φύεται ἐν ὀρεινοῖς καὶ πλαγίοις τόποις · φύλλα δὲ ἔχει ὅμοια ἀειζώῳ τῷ λιβανωτίδι · λεπτότερα δὲ πολλῷ καὶ λευκὰ καὶ δασέα · καὶ πυκνὰ περὶ τοὺς κλάδους · ὀσμὴν ἔχοντα πίτυος · ἄνθη δὲ λεπτὰ μήλινα · κόμην, πυκνήν · λευκήν · ῥίζας δέ, ὡς κιχώρια · ταύτης τὰ φύλλα

λεπτοφύλλω

πινόμενα μετ' οἴνου ἐπὶ ἡμέρας ἑπτὰ ἰκτερικοὺς θερα-
πεύει· ἐπὶ δὲ ἡμέρας μ', ἰσχιάδας θεραπεύει μετὰ
τοῦ ὑδρομέλιτος πινόμενα· δίδοται καὶ ἡπατικοῖς
καὶ δυσουροῦσι καὶ νεφριτικοῖς· ἔτι ἁρμόζει καὶ στρο-
φουμένοις· χρῶνται δὲ αὐτῇ ἐν Ἡρακλείᾳ τῇ Ποντι-
κῇ ὡς ἀντιδότῳ πρὸς ἀκόνιτον, ποτίζοντες τὸ ἀφέ-
ψημα· καταπλάττεται δὲ πρὸς τὰ εἰρημένα· καὶ μετὰ
ἀλφίτων σεσησμένων, τῷ ἀφεψήματι τῆς πόας· μετὰ
λαπίδος δὲ· ἡ ῥητίνης συναληφθεῖσα, καθαίρει κοιλί-
αν δὲ καὶ τὰ ἐν ὑστέρᾳ· προστεθεῖσα, σὺν μέλιτι· δια-
φορεῖ δὲ, καὶ σκληρίας μαστῶν· καὶ τραύματα κολλᾷ·
καὶ ἕρπητας ἐπέχει, μετὰ μέλιτος καταπλασσομένη:~

περὶ χαμαιλαίας

Χαμαιλαία· οἱ δὲ χαμαιλαία μέλαινα· οἱ δὲ ἡρακλεῖον·
οἱ δὲ ἀβαλληνέα· οἱ δὲ κόκκος κνίδιος· Ῥωμαῖοι, κι-
καμίου· κλῶνας μὲν ἔχει ἀπὸ σπιθαμιαίους· ὅσον θάμνου
φρυγανώδους· φύλλα δὲ, ἐλαίᾳ παραπλήσια· λε-
πτότερα δὲ καὶ πικρότερα· δάκνοντα τὴν γεῦσιν· καὶ
χαράττοντα τὴν ἀρτηρίαν· ταῦτα τὰ φύλλα, κάτω κα-
θαίρει φλέγμα, μιγνυμένου δὲ διπλασίονος ἀψινθίου,
πρὸς ἓν μέρος τῆς χαμαιλαίας· συναλαμβανομένων δὲ
μέλιτι ἐξ καταπότια· ὡς ἂν ἀδήκτα· διαχωρεῖ ταῖς
λαμβανούσαις· λεῖα δὲ τὰ φύλλα μετὰ μέλιτος, ἀνακα-
θαίρει τὰ ῥυπαρὰ ἕλκη καὶ ἐσχαρωμένα:~

περὶ χαλβάνης

Χαλβάνη, ὀπός ἐστι νάρθηκος ἐν Συρίᾳ γινόμενος· οὗ
ἔνιοι, μετώπιον καλοῦσιν· ἔστι δὲ αὐτῆς ἀρίστη,
ἡ λιβανοειδής· χονδρώδης· καθαρά· λιπαρά· ἄ-
ξυλος· ἔχουσα δέ τι τοῦ σπέρματος καὶ τοῦ νάρθηκος
μεμιγμένου· ὀσμὴ βαρεῖα· οὔτε ἄγαν ὑγρά· οὔτε

ἄλγον καταξηρός· δολοῦσι δὲ αὐτήν, καὶ γνώ-
ιον εὐτόνην καὶ ὑραλμοῦ καὶ ἀμμωνιακοῦ· δύνα-
μιν δὲ ἔχει θερμαντικὴν καὶ πρωτικήν· ἐπισπαστι-
κήν· διαφορητικήν· πρὸς τὰ θερμήν δὲ καὶ ὑπο-
θυμιαθεῖσα, ἔμμηνα καὶ ἔμβρυα ἄγει· φακοὺς
τε ἀφαιρεῖ μετὰ ὄξους καὶ νίτρου ἐπιπλασθεῖσα· πί-
νεται δὲ καὶ πρὸς παλαιὰν βῆχα· δύσπνοιαν· ἀ-
σθματα· ῥήγματα· σπάσματα· ἀπὸ τῆς ταχὺ δὲ καὶ
τοξικοῖς σὺν οἴνῳ ποθεῖσα καὶ σμύρνῃ· ἐκβάλλει
καὶ τὰ θνησιμαῖα ἔμβρυα, ὁμοίως ληφθεῖσα· ἐπιτίθε-
ται καὶ πρὸς ὀδόντων πληγὰς καὶ δοθιῆνας· ἀπλη-
πίνουσί τε καὶ ὕδατι σαρκικὰς πτύγας· καὶ στοματικούς
ὀσφραινομένη δὲ ὑστέρα· θηρία τε θυμιωμένη
διώκει· τούς τε συγχεομένους ἀδήκτους ποι-
εῖ· σὺν σφονδυλίῳ καὶ ἐλαίῳ περιτεθεῖσα, ταῖς ἐπιπτώ-
σεσι· ὀδόντας τε πόνου περιπλασθεῖσα καὶ ἐντεθεῖ-
σα εἰς τὸ βρῶμα παύει· δύναται δὲ καὶ εἰς ὕδωρ οὐσουρίαν
ποιεῖν· λύεται δὲ εἰς μάζα πόματα, πυροῖς ἀμύ-
δάλοις· καὶ ὕδατι πηγαίῳ· ἢ μελικράτῳ· ἢ ἀρτῷ θα-
ερμῷ· ἄλλως δὲ μήκωνι ἀπὸ καὶ χαλκοῦ κεκαυμένῳ·
χολῇ ὑγρᾷ· καθαίρεται δὲ αὐτὴν βουλόμενος, κα-
θεὶς εἰς ζεστὸν ὕδωρ· τακείσης δὲ αὐτῆς ἀπόπλυνε
τὸ ἐπιπολῆς· ὅπερ χωρίσας οὕτως· εἰς ὀθόνην κα-
θαρὰν ἄφρασον ἐνδήσας, ἀποκρέμασον εἰς χαλκίον πυ-
ξίδα· ἢ εἰς ὀστράκινον ἀγγεῖον, ὡς τὸ μὴ ἅπτεσθαι
τοῦ πυθμένος τοῦ ἀγγείου τὸν ἔνδεσμον· καὶ πωμάσας,
εἰς σύνασβεστον ὕδωρ καθοῦ· οὕτως γὰρ τὸ μὲν ὄστιμον
ἀποτίθεται, ὡς δὲ ὑποθημοῦ, τὸ δὲ ξυλῶδες
ἐν τῷ ὀθονίῳ μένει :~

⁘ περὶ χαμαιμήλου ⁘

χαμαίμηλον· οἱ δέ, μαλίλωτον· οἱ δέ, ἀμάρακον·
οἱ δέ, ἀράνθεμον· οἱ δὲ μήλανθον· οἱ δὲ ἀνθῖτις·
οἱ δὲ λευκάνθεμον· οἱ δὲ χρυσοκόμην· ῥωμαῖοι, μα-
λιούμ. χαμαίμηλον διὰ τὴν πρὸς τὰ μῆλα ὁμοιό-
τητα τῆς ὀσμῆς· ἀράνθεμον δέ, ἀπὸ ἔαρος ἀνθά-
ταν, ἔστι τρία· ἄνθεσι μόνον διαφέροντα· κλῶνας
σπιθαμιαίους· θαμνοειδεῖς· μασχάλας ἔχουσας πολ-
λάς· φυλλάρια μικρά· λεπτά· τριχοσχιδῆ ὡς ἀνήθου·
κεφάλια περιφερῆ· ἔνδοθεν μὲν χρυσίζον ἄνθος
ἔχοντα· ἔξωθεν δὲ περικείμενα κύκλῳ περὶ ὡς λευκά·
ἢ μήλινα· ἢ πορφυρᾶ· ἐξ· ἢ ἤ· ἢ δὲ μεῖον φυλλάρια κατὰ
τὰ μέγεθος πηγάνου φύλλων, ἢ μικρότερα· φύεται
δὲ ἐν τραχέσι τόποις καὶ παρὰ τὰς ὁδούς· συλλέγε-
ται δὲ ἔαρος· δύναμιν δὲ ἔχουσιν αἱ ῥίζαι καὶ αἱ πόαι·
καὶ τὰ ἄνθη, θερμαντικήν· πινόμεναι δὲ καὶ ἐγκαθιζό-
μεναι, ἄγουσι καταμήνια καὶ ἔμβρυα καὶ λίθον
καὶ οὖρα. ποτίζονται δὲ καὶ πρὸς ἐμπνευματώσεις·
καὶ εἰλεούς· ἴκτερόν τε ἀποκαθαίρουσιν, καὶ ἡπατι-
κοὺς ἰῶνται· καὶ τὸ ἀφέψημα δὲ αὐτῶν λαμβάνεται
πρὸς κύστιν· πρακτικώτερον δὲ τοῖς λιθιῶσι, τὸ ἔχον
πορφυροῦν ἄνθος· ὅπερ τοῖς ἄλλοις ἐστὶ μεῖζον,
ἰδίως ἠράνθεμον καλούμενον· τὸ δὲ λευκάνθινον,
οὐρητικώτερον καὶ τὸ χρυσάνθεμον· θεραπεύουσι
δὲ καταπλασσόμενα καὶ διαμασώμενα, ἄφθας·
χρῶνται δέ τινες σκευάζοντες μετ' ἐλαίου λειοτριβοῦν-
τες αὐτῶν· πρὸς ἀνακομιδὴν τῶν περιοδικῶν πυ-
ρετῶν· ἀποτίθενται δὲ τὰ φύλλα καὶ τὰ ἄνθη
ἕκαστον αὐτῶν ἰδίᾳ κόπτοντες καὶ ἀναλαμβάνοντες
τροχίσκους· τὴν δὲ ῥίζαν, ξηραίνοντες· χρῶνται δὲ ἐπιτι-
νομένοις, διδόνας ὅταν μέλλῃ τῆς βοτάνης μάρησις·

τοῦ δὲ ἄνθους, μάραθον πίνεται σὺν οἰνομέλιτι καὶ καρδαμώμῳ :~

⁙ περὶ χαμαιλέοντος ⁙

Χαμαιλέων λευκός· οἱ δέ, χρυσίσκηπτρον· οἱ δέ, ἰξίαν· Ῥωμαῖοι, καρδοῦσουδρινοῦς· οἱ δέ, πίνα καρδοῦς· οἱ δέ, λακτάρια καρδοῦς· Αἰγύπτιοι ἀφθήρ. ἰξίαν ἀνακαλοῦσι διὰ τὸ ἐν τισὶ τόποις ἰξὸν εὑρίσκεσθαι πρὸς ταῖς ῥίζαις αὐτοῦ· ᾧ καὶ ἀντὶ μαστίχης χρῶνται αἱ γυναῖκες· φύλλα δὲ ἔχει ὅμοια σιλλύβῳ ἢ σκολύμῳ· παχύτερα δὲ καὶ ὀξύτερα τοῦ μέλανος· καυλὸν δὲ οὐκ ἔχει· ἀλλὰ ἀφίησιν ἐκ τοῦ μέσου ἄκανθαν· ὁμοίαν ἐχίνῳ θαλασσίῳ, ἢ κυνάρᾳ· ἄνθη δὲ πορφυροειδῆ, ὥσπερ τρίχας· καρπὸν δὲ κνήκῳ παραπλήσιον· ῥίζαν ἐν μὲν τοῖς ἐδάφεσι, παχεῖαν· ἐν δὲ τοῖς ὀρεινοῖς, ἰσχνοτέραν· λευκὴν· ἀρωματίζουσαν, βαρύοσμον· γλυκεῖαν· ἥτις ποθεῖσα τὰς ἕλμινθας πλατέαν ὀξυβάφου πλῆθος· λαμβάνεται δὲ σὺν οἴνῳ αὐστηρῷ, μετὰ ὀριγάνου ἀποζέματος· καὶ ὑδρωπικοῖς δέ, ἐπιτηδείως δίδοται ὁλκὴ σὺν οἴνῳ· ἰσχναίνει γὰρ αὐτούς· καὶ πρὸς δυσουρίαν τὸ ἀφέψημα αὐτῆς πίνεται· ἄγει δὲ καὶ θηριακὴ σὺν οἴνῳ ποθεῖσα· κτείνει δὲ καὶ κύνας, σὺν ἀλφίτοις πεφυραμένοις τα θεῖσα δ' ἐς βρῶσιν :~

ἀρχὴ τοῦ τ̄.

⁙ περὶ τιθυμαλίου ⁙

Τιθυμάλλιον· οἱ δὲ καταφράκτις· οἱ δὲ κωμοκέφαλον· οἱ δὲ κρυστάλλιον· οἱ δὲ κωμοκεβι· οἱ δὲ τιθυμαλλίς· Ῥωμαῖοι, σιλβατικούμ· φύλλον δὲ ἔχει κόρου ὁποσοῦ ὅμοιον· δὲ σύντερον καὶ μαλακώτερον· κλῶνας δὲ ἐπὶ σπιθαμιαίους· καὶ τοσοῦτον βοτάνιον χορτῶδες· ἀρχὲ ταῖς δὲ αὐτῶν ἡ

κόμη ἀπὸ μέσου τοῦ καυλοῦ· κεφάλια δὲ δύο ἢ γ'·
ἢ πλείονα ἀπ' ἄκρου σώματος (?)· τὸ δὲ σπέρμα,
ψυλλίοις ὅμοιον· μέλαν· σκληρόν· φύεται ἐν δὲ ὀ
ρας· δύναμιν δὲ ἔχει ψυκτικήν· ὠφελεῖ δὲ καὶ κατα
πλασσόμενον ἀρθριτικοῖς· παρωτίσι· φύμασιν·
οἰδήμασι· σπάσμασι κεφαλαλγίαις· μετὰ ῥοδίνου
καὶ ὄξους· ἢ ὕδατος· ἐντεροκήλας τε τὰς ἀπὸ παίδων καὶ
ἐξομφάλους ἰᾶται καταπλασθεῖσα· σὺν δὲ ὀξυβάφου
χλιαίνοντας (?) πλῆθος, βραχὺ ἐν δὲ οἴνῳ ὕδατος κοτύ
λαις· καὶ πότῳ ἀπὸ πλατεῖ (?)· ψύχει γὰρ ἱκανῶς· —

περὶ ψευδοβουνίου

Ψευδοβούνιον· θαμνίον ἐστὶ σπιθαμιαῖον· φυόμενον
ἐν Κρήτῃ· ἔχουσα φύλλα καὶ κλωνία βουβωνίῳ ὅ
μοια· δύναται δὲ ἐξ αὐτοῦ πινόμενα κλωνία ὅσον
δ' σὺν ὕδατι στρόφους παύειν· καὶ στραγγουρίαν·
καὶ πλευρᾶς πόνους θεραπεύειν· διαφορεῖ δὲ καὶ χοιρά
δας μετὰ ἁλῶν καὶ οἴνου καταπλασσομένη χλιαροῦ· —

περὶ ψευδοδικτάμνου

Ψευδοδικτάμνου

Ἀρχὴ τοῦ ω

Περὶ ὠκιμοειδοῦς

Ὠκιμοειδές· οἱ δὲ καὶ ταύτην ἄγριον καλοῦσιν· οἱ δὲ σκο
ρπίουρον· οἱ δὲ ἀνδράχνιον· οἱ δὲ ἀλθαίας· οἱ δὲ ἀμα
ρανθίς· οἱ δὲ προβατεία· οἱ δὲ ἀλάφιον· οἱ δὲ
ἀντίκιμον· οἱ δὲ πορφυρίδα· οἱ δὲ ἀστέου· οἱ δὲ ὑα
μάστου· οἱ δὲ φιλεταίριον· Ῥωμαῖοι, ὠκιμα
στρουμ· φύλλα μὲν ἔχει ὠκίμῳ ὅμοια· κλῶνας δὲ
σπιθαμιαίους· δασεῖς· παραπλησίους κωδιά
μοις· πλήρεις σπέρματος μέλανος· ὁμοίου τοῖς μελανθίῳ·
δίδοται δὲ καὶ τὸ σπέρμα πινόμενον· ἐχεοδήκτους
καὶ τὰ ἄλλα τῶν ἑρπετῶν δήγματα θεραπεύειν· δίδο
ται δὲ καὶ ἰσχιαδικοῖς μετὰ σμύρνου καὶ πεπέρεως·
ῥίζα, ὑπάρχει λεπτὴ καὶ ἄχρηστος.

Περὶ ὠκίμου

Ὤκιμον· κοινῶς ἐστι δὲ βασιλικὸν καλούμενον· γνώριμον
βιβρωσκόμενον πολύ, ἀμβλυωπόν· ἄγει δὲ καὶ κοι
λίας μαλακτικόν· γάλακτος προκλητικόν· σὺν οἴνῳ
πινόμενον δὲ στόμαχον βλάπτει· καταπλασσόμενον δὲ
σὺν ἀλφίτῳ πολέντῃ καὶ ῥοδίνῳ καὶ ὄξει, βοηθεῖ φ
λεγμοναῖς· καὶ δρακοντίου θαλασσίου, καὶ σκορπί
ου πληγαῖς· καθ' αὑτὸ καὶ σὺν οἴνῳ χίῳ, πρὸς
ὀφθαλμῶν ὀδύνας· ὁ δὲ χυλὸς αὐτοῦ, ἀποκα
θαίρει ἀχλῦς τὰς ἐν ὀφθαλμοῖς καὶ τὰ ῥεύματα
ξηραίνει· τὸ δὲ σπέρμα πινόμενον, ἁρμόζει σὺν
οἴνῳ τοῖς μελαγχολιῶσι καὶ στραγγουριοῦσι καὶ δυ
σουροῦσι, σὺν ὕδατι πνευματουμένοις σὺν οἴ
νῳ καρδιακοῖς· πταρμοὺς δὲ καὶ πταρμοὺς πλείονας·
ὀσφραινόμενον διὸ ὀφρήσκως· καὶ πρὸς κίνησιν ἐμμή
νων, τὸ σπέρμα λεῖον σὺν ὕδατι νήστεις πινόμενον.

καὶ ἡ πόσις τὰ αὐτὰ ποιεῖ· συναπτίζουσι δὲ τοὺς ὀφθαλ-
μοὺς δέ, ἀπιόντος τοῦ τορμοῦ· φυλάσσονται
δι' αὐτό τινες καὶ οὐ καθίουσι, διὰ τὸ μαλάσσειν αὐτῶν καὶ τὰ
θῶν ξυνηλίων, ὅπως μὴ καὶ συγγεννᾶν· διαφυσῶσι πρὸ
ἀλήφασιν· ὅτι οἱ φαγόντες αὐτὸ καὶ πλησθέντες τῶν
πόσμος ἐπίου, ἄσωτοι διατίθενται:~

περὶ μανδραγόρας

Μανδραγόρα· οἱ δὲ ἀντίμηλον· οἱ δὲ βομβόχυλον·
οἱ δέ, κιρκαίαν· οἱ δὲ διρκαίαν· οἱ δὲ ζατώριον·
οἱ δὲ μώριον· οἱ δὲ κιρκαῖον· ἔστι καὶ ἄρρην μανδρα-
γόρας, ἔστι καὶ θήλεια· καὶ ἡ μὲν θήλεια, ἐστὶ μέλαι-
να· ἣ παρ' ἐνίοις θριδακίας λέγεται· φύλλα ἔχουσα μικρό-
τερα καὶ στενώτερα τῆς θριδακίνης· δυσώδη καὶ βαρύοσ-
μα· ἀνακεχυμένα ἐπὶ τῆς γῆς· καὶ περὶ αὐτά, μῆλα οὔοις
ἢ ἀχράσιν ἐμφερῆ· ὠχρά· εὐώδη· ἐν οἷς ἐστὶ καρ-
πός, ὥσπερ ἀπίου· ῥίζας ἔχουσα εὐμεγέθεις δύο,
ἢ τρεῖς ἀντιπεπλεγμένας ἀλλήλαις· μελαίνας,
ὡς δὲ φοινικοῦς βαθεῖς μᾶλλον κατὰ τὴν ἐπιφάνειαν·
ἔνδοθεν δέ, λευκὰς καὶ φλοιώδεις· καυλοῦ δὲ οὐ
φέρει· ὁ δὲ ἄρρην καὶ λευκός· ὃν ἔνιοι σατώρι-
ον ἐκάλεσαν· φύλλα φέρει λευκὰ καὶ μεγάλα ὥσπερ
σεύτλου· ἢ μείζονα πολλῷ· τὰ δὲ μῆλα διπλάσια
τῷ μεγέθει· κροκίζοντα καὶ αὐτὰ τῇ χροιᾷ· εὐώδη
μετὰ βάρους τινός· ἅπερ ἐσθίοντες οἱ ποιμαίνοντες,
ποσῶς ἀποκαροῦνται· ῥίζα δὲ ὁμοία τῇ προαυτῆς
ἀνθρωποειδὴς καὶ ἀφόμοιον ἀνθρώπῳ φέρουσα· μεί-
ζων δὲ καὶ λευκοτέρα· ἄκαυλος καὶ αὐτή· χυλίζεται
ὁ φλοιὸς τῆς ῥίζης τῆς ἄρρενος χλωρός, κοπείς· καὶ
ὑποτεθεὶς πιεστῆρι· καὶ ἐκπιάζεται μετὰ τὸ συστρα-
φῆναι ἡλιασθέντων· ἀποτίθεται εἰς κεραμίνῳ ἀγγείῳ·

καὶ κιρκαῖον·
καὶ μώριον

χυλίζεται δὲ τὰ φύλλα ὁμοίως· ἀνειμένον δὲ γί-
νεται τὸ ἐξ αὐτῶν χύλισμα· καὶ ὁ φλοιὸς δὲ τῆς ῥί-
ζης περιαιρεθεὶς καὶ βληθεὶς λίνῳ, κρεμᾶται εἰς
ἀπόθεσιν· ἔνιοι δὲ καθέψουσιν οἴνῳ τὰς ῥίζας ἄχρι
τρίτου καὶ διυλίσαντες, ἀποτίθενται· χρῶνται δὲ
ἐπὶ τῶν ἀγρυπνούντων καὶ περιωδυνούντων κυάθῳ ἑνὶ ἢ
κοτύλην μίαν· καὶ ἐφ' ὧν ἀναισθησίαν βούλονται ποιῆσαι
καιομένων ἢ τεμνομένων· ὀπὸς δὲ αὐτῶν σὺν μελι-
κράτῳ διδόσθω φλέγμα καὶ χολὴν ποθεὶς ὡς ἐλλέβορος
ὡσεὶ ς'' ὀβολόν· πλέον δὲ ποθεὶς, ἐξάγει τοῦ ζῆν·
μίγνυται δὲ καὶ εἰς τὰς ὀφθαλμικὰς καὶ εἰς ἀνωδύνους
δυνάμεις καὶ πεσσοῖς μαλακτικοῖς· καθ' αὑτὸ δὲ ὅσον
ἡμιοβόλου προστεθεὶς, ἔμμηνα καὶ ἔμβρυα ἄγει· δα-
κτυλίῳ δὲ αὐτῆς βαλάνου προστεθεὶς, ὕπνον ποιεῖ·
μαλάσσει δὲ καὶ ἐλεφαντίας λέγεται ἡ ῥίζα· συνεψο-
μένη γὰρ ἡ ῥίζα αὐτῷ ἐπὶ ὥρας ς', διπλάσιον τοῦ δέον
ὄντα καὶ εὐσχημάτιστον ποιεῖ· εἰς ὃ ἂν βούληται σχῆ-
μα· τὰ δὲ φύλλα πρόσφατα, ἁρμόζουσι πρὸς τὰς ὀ-
φθαλμῶν φλεγμονάς, καὶ τὰς ἐν τῶν ἑλκῶν, μετὰ
ἀλφίτου καταπλαττόμενα· διαφορεῖ δὲ, καὶ πᾶσαν
σκληρίαν· ἀποστήματα· χοιράδας· φύματα· πα-
ρατριβόμενα ἡσυχῇ ἐπὶ ἡμέρας ε' ἢ ἕξ· καὶ στίγμα-
τα τὰ ἄνευ τοῦ ἕλκους ἀφανίζει· καὶ ταριχευθέντα
δὲ τὰ φύλλα, ἀποτίθενται πρὸς τὰς αὐτὰς χρείας·
ἡ δὲ ῥίζα λεία σὺν ὄξει, ἐρυσιπέλατα ἰᾶται· πρὸς δὲ
ἑρπετῶν πληγάς, σὺν ὄξει ἢ μέλιτι ἢ ἐλαίῳ· σὺν ὕδατι
δὲ χοιράδας καὶ φύματα διαφορεῖ· καὶ ἄρθρων πόνους
παύει μετὰ ἀλφίτων· σκευάζεται δὲ καὶ δίχα ἑψήσεως
οἶνος ἐκ τοῦ φλοιοῦ τῆς ῥίζης· δεῖ δὲ ἐμβάλλειν μνᾶς τρεῖς,
εἰς μετρητὴν οἴνου γλυκέος διδόναι τὸ ἐξ αὐτοῦ, κυάθους

Λύουσιν ἢ τὸ πλῆθος τοῖς μάλλοισι τέμνεσθαι
ὡς προείρηται· οὐ γὰρ αὐτὰ λαμβάνοντα,
ἀλγήματος, διὰ τὸ καταφέρεσθαι· τὰ δὲ μῆλα
ἀθροιζόμενα καὶ ὀσφραινόμενα, καρωτικά ἐστι καί
ὁ ἐξ αὐτῶν χυλὸς πλεονασθεὶς δέ, καὶ ἀφώνους
ποιεῖ· τὸ δὲ σπέρμα τῶν μήλων ποθέν. ὑστέραν
καθαίρει· πρὸς τὸ θερμὸν δὲ κατὰ θέσιν ἄπυρον, ῥοιῶν
ἴσησιν ἐρυθρῶν· ὀπίζεται δὲ περιχαρασσομένης τῆς
ῥίζης, θολερῶς· καὶ τοῦ συρρέοντος, εἰς τὴν κοι-
λότητα συλλεγομένου· ὥσπερ δὲ ἐναργέστερος τοῦ ὀποῦ
ὁ χυλός· οὐκ ἐν παντὶ δὲ τόπῳ, φέρουσιν ὀπὸν αἱ ῥίζαι·
ὑπὸ δὲ κυνῶν δὲ τὸ τοιοῦτον, ἢ πέτρα· τὰ μῆλα δὲ αὐ-
τῆς ξηρανθέντα ἀποβρέχουσιν αὐτὰ θερμῷ ὕδατι,
μοσχεύουσι καὶ οὕτως ἐπιτιθοῦσι φοῦσκα θανασίμω
ὅταν εἰς βάθος χωρήσῃ καὶ ἐξάγει αὐτὴν ἐπὶ τὴν ἐπιφά-
νειαν, καὶ πεπαίνειν ποιεῖ· ὠκὰ θαίρουσα αὐτὰ τῶν
ἐντὸς σπερμάτων· τὸ αὐτὸ ποιεῖ, καὶ χλωρὰ τὰ μὴ
χλαοῦντα· ἡ δὲ ῥίζα αὐτῆς ὡς φασί τινες, φίλτρον
ἐστὶ ποιητική· καὶ δῆλον ἐκ τοῦ ἀνίνου φέρειν σχῆμα·
καὶ ὅτι περιπεπλασμένας εἰσὶν ἀμφότερα, ἥ τε τῆς
θηλείας ῥίζα καὶ τοῦ ἄρρενος· καὶ τὸ τῆς μᾶλλον ἐστὶν ἐ-
μαρτυσμένα ἡ ῥίζα, ὁπότε δὲ τὸ διὰ κωδείου ἀνακα-
θῆ:— — —

Κατὰ πόσα αἴτια ἀσυρινα μετὰ τροφὴν
ἀνάδοσιν· λαμβάνομεν γ ἢ ε πρὸς δύ-
ναμιν· ποσὸν ἔχουσα ἐρυθρινοῦ· κλυσ-
σιδὲ φλέγμα καὶ ξανθὴν χολὴν καὶ σκύβαλ-
διὰ τὰς ἐργὸς ἔχουσι δὲ οὕτως· ῥέον καὶ ὀξύ-
πρου· ἀλόκη ἢ πατοῦ· καὶ σκαμμωνία ἐπίσης·
φυρᾶ ἐν οἴνῳ, ξηρανα ἐν σιτία· καὶ χρῶ
καὶ μετὰ ὀλιγοτροφίας ἐν ἅπασι, κοινῶς:—



